eul_wid: peq-aa

*Φαβωρῖνος ὁ Ἀρελάτης* · Favorinus of Arelate

# Fragments on Old Age and Pleasure

*Ἀποσπάσματα περὶ Γήρως καὶ Ἡδονῆς*

**Period:** *Ῥωμαϊκή* Roman
**Dialect:** *Ἀττικίζουσα* Atticizing
**Domain:** *Φιλοσοφία* Philosophy
**Format:** *Συναγωγή* Collection
**Affiliation:** Pyrrhonian

7 Phryn., ecl. § 232, p. 324 Rutherford (p. 260 Lobeck) πλόκιο ν· ἐπὶ ὑποθέσεως πεπλεγμένης οἱ εἰκαῖοι τιθέασι. θαυμάζω οὖν πῶς ὁ πρῶτος δόξας τῶν Ἑλλήνων εἶναι Φαβωρῖνος ἐχρῆτο ἐν συγγράμματι ἐπιγραφομένῳ Περὶ τῆς δημώδους σωφροσύνης.

8 Phrynich., ecl. § 220, p. 315 Ruth. (p. 244 Lobeck) διδοῦσι ν· ἐν τῷ Περὶ εὐχῆς Φαβωρῖνος οὕτω λέγει, δέον διδόασι· τὸ γὰρ διδοῦσιν ἄλλο τι σημαίνει[, τὸ δεῖν].

9 πολύς τοι μόχθος ἐν μακρῷ χρόνῳ

10 Ἐρατοσθένης ὁ Κυρηναῖος τῆς ἡλικίας ἔφη τὸ μὲν ἀκμάζον ἔαρ εἶναι, θέρος δὲ καὶ μετόπωρον τὸ μετὰ τὴν ἀκμήν, χειμῶνα δὲ τὸ γῆρας.

11 τὸ γῆρας ἔλεγεν ὅρμον εἶναι τῶν κακῶν· εἰς αὐτὸ γοῦν πάντα καταφεύγειν.

12 Οὐδὲ γὰρ τοῦτο ἐάσω ἄρρητον, ὅτι καὶ Πλάτωνι καὶ Πυθαγόρᾳ δοκεῖ τὸ γῆρας οὐκ ἐπ’ ἐξόδῳ τοῦ βίου εἶναι, ἀλλ’ ἐπ’ ἀρχῇ μακαρίας ζωῆς.

13 Ἡδονῆς γὰρ ὁ μὲν ἑκὼν εἰργόμενος σοφός, ὁ δὲ μὴ δεόμενος μακάριος. τὸ δὲ γῆρας πρὸς ἀμφότερα ἐπιτήδειον· καὶ γὰρ φρονιμωτέρους τοὺς ἀνθρώπους ἀπεργάζεται καὶ τῶν ἡδέων ἀμελεστέρους.

14 Ἄξιον δέ ἐστιν εἰς τὸν περὶ τῆς ἡδονῆς λόγον προελθόντα μηδὲ ἐκείνην ἀμνημόνευτον ἐᾶσαι, τὴν παρὰ πᾶσι τοῖς νοῦν ἔχουσιν εὐδοκιμοῦσαν, ἣν ἡδονὴν ὀνομάζουσι καὶ χαρὰν καὶ τέρψιν· περιγίνεται δ’ ἐκ τῶν καλῶν μαθημάτων καὶ τῶν ἐνδόξων κατορθωμάτων. ἀμφοτέρων δὲ τούτων ὑπάρχει τῷ γέροντι πρὸς ἑαυτὸν ἀναμιμνήσκεσθαι καὶ καθάπερ κτήμασι τέρπεσθαι, λογιζόμενον ὅτι ἡ τύχη, ἡ πάντων κυρία, ταῦτα ἄκυρός ἐστιν ἀφελέσθαι.

15 Ὁ Βοιωτὸς ἐντυχὼν θησαυρῷ μετὰ ἑβδομήκοντα ἔτη ἐπάρας τὸ σκέλος ἀπεματάισε καὶ παρῆλθεν, ὡς οὐκέτι οὐδὲν ὄντα πρὸς αὐτόν. ὥστε καὶ πολυχρηματίας ἅμα παύει τὸ γῆρας καὶ πολυπραγμοσύνης.

16 Ὅτι παραπλήσια τοῖς μετοικιζομένοις πάσχομεν. καὶ γὰρ ἐκείνων οἱ μὲν εὐγνώμονες ταχέως ἐξίασιν, οἱ δὲ μὴ βουλόμενοι πρὸς βίαν.

17 Θεόδωρος μὲν γὰρ ὁ Κυρηναῖος οὐδεμίαν ἱκανὴν πρόφασιν ἔφασκεν εἶναι τῷ σοφῷ πρὸς τὴν τοῦ βίου κατάλυσιν· καὶ τό γε ἀκόλουθον οὕτως ἠρώτα· τὸ γὰρ καταφρονοῦντα τῶν

ἀνθρωπείων συμπτωμάτων ἀπωστὸν ὑπ’ αὐτῶν ἐκ τοῦ βίου γίγνεσθαι πῶς οὐχ ὑπεναντίον τῷ μόνον μὲν τὸ καλὸν ἀγαθόν, μόνον δὲ τὸ αἰσχρὸν κακὸν εἰρηκότι;

18 Πάθος τί μοι προσέπεσε τῇ ψυχῇ, καὶ τί μέν ἐστιν οὐκ οἶδα· ἔρωτα δὲ αὐτὸ λέγουσιν εἶναι οἱ μεμυημένοι. βάσκανε δαῖμον καὶ ἀλόγιστε, ἀσθενεῖ προσελήλυθας σώματι φέρειν σε μὴ δυναμένῳ· ἐξίσταμαί σοι, δαῖμον, παραχωρῶ σοι τῆς μάχης· οὐκ εἰμί σου στρατιώτης.

19 Ἡ φύσις ἢ ἑστῶσα σῴζεται ἢ φερομένη· [ἡ] ἑστῶσα μὲν ἐξ ἀθανασίας, φερομένη δὲ ἐξ ἐπιγονῆς. πρὸς ταῦτα γελοῖος ἂν φανείη ὁ Ἀνακρέων καὶ μικρολόγος τῷ παιδὶ μεμφόμενος ὅτι τῆς κόμης ἀπεκείρατο, λέγων ταῦτα· ἀπέκειρας δ’ ἁπαλῆς κόμης ἄμωμον ἄνθος. ἀλλ’, ὦ Ἀνάκρεον, μικρὸν ἐπίμεινον, καὶ ὄψει πάντα ἀποκεκαρμένα· ἀποκεκαρμένην μὲν τὴν τῶν ὀμμάτων αὐγήν, ἀποκεκαρμένην δὲ τὴν τοῦ μετώπου χάριν ἀτεχνῶς κατὰ τὸν Ὅμηρον· κάρψε μέν οἱ χρόα καλὸν ἐπὶ γναμπτοῖσι μέλεσσιν, ξανθὰς δ’ ἐκ κεφαλῆς ὄλεσεν τρίχας· ἀμφὶ δὲ δέρμα πάντεσσιν μελέεσσι παλαιοῦ θῆκε γέροντος. ταῦτα δ’ Ἀθηνᾶ μὲν διέθηκε τὸν Ὀδυσσέα, ὁ δὲ χρόνος πάντας τοὺς καλούς. εἶτα Ὀδυσσεὺς μὲν ἀναλήψεται καὶ σάρκας καὶ κόμην καὶ χρῶμα· σὺ δέ, ὦ καλὲ παίδων, ἐπειδὰν ἅπαξ ταῦτα ἀποβάλῃς, οὐκ ἔστι σοι πάλιν ἀνηβῆσαι.

20 Ἔτι καὶ νῦν Σωκράτης καλός· Ἀλκιβιάδην δὲ καὶ ζῶντα ἐπιλελοίπει τὸ κάλλος, καὶ πολλοὶ κατόπιν τῆς ὥρας ἀφιγμένον, ἔνιοι δὲ καὶ τῶν τεθεαμένων αὐτὸν καὶ νέον, ὁρῶντες ἐζήτουν τὸν Ἀλκιβιάδην.

21 Ἱκανὸν μὲν οὖν ἴσως καὶ τὸ τῆς ὄψεως· ἂν δὲ ὁ καλὸς καὶ αἱμύλος ᾖ καὶ λεκτικός—λέγε, ὦ νεανίσκε· λέγε, Ἀντίλοχε· γλυκερώτερον Νέστορος ἐρεῖς· λέγε, Τηλέμαχε· σφοδρότερον Ὀδυσσέως ἐρεῖς· λέγε, Ἀλκιβιάδη· κἂν μεθύῃς, ἀκουσόμεθα τοῦ μεθύοντος ἡδέως. τοιοῦτόν ἐστι τὸ καλὸν εἶναι· εὐφραίνει μὲν βλεπόμενος, εὐφραίνει δὲ ἀκουόμενος. εἰ δέ τῳ κατὰ Πλάτωνα τὸ θάρρος ἦν, εἶπον ἂν ὅτι καὶ πάσας τὰς αἰσθήσεις ὁ καλὸς εὐφραίνει καὶ οὐκ ἂν ἔδεισα τὴν εὐωχίαν τὴν τῶν καλῶν. τί γὰρ ἄλλο ποιοῦσιν οἱ τῷ στόματι ψαύοντες; συνάπτουσι τὰς ψυχάς. εἰ γὰρ θέμις ἦν τὸ σῶμα ὑπερβῆναι· νῦν δὲ ἐοίκασιν περὶ τὸ στόμα λιπαρεῖν ὡς περὶ θύρας.

25 Phrynich., ecl. § 223, p. 318 Ruth. (p. 248 Lobeck) σύμ πτωμα πολλάκις εὗρον κείμενον παρὰ Φαβωρίνῳ ἐν τῷ Περὶ ἰδεῶν λόγῳ, πόθεν δὲ λαβὼν ἔθηκεν, οὐκ οἶδα. χρὴ οὖν συντυχίαν λέγειν ἢ λύσαντας οὕτω· συνέπεσεν αὐτῷ τόδε γενέσθαι. Δημοσθένης μέντοι ἐν τῷ κατὰ Διονυσοδώρου ἅπαξ εἴρηκε τοὔνομα.

27 Philostr., vit. Soph. I, 8 (post verba quae sub titulo operis protulimus) τοὺς γὰρ Πυρρωνείους ἐφεκτικοὺς ὄντας οὐκ ἀφαιρεῖται (sc. Favorinus) καὶ τὸ δικάζειν δύνασθαι.

28 (1) Galeni περὶ ἀρίστης διδασκαλίας.

28,1 Τὴν εἰς ἑκάτερα ἐπιχείρησιν ἀρίστην εἶναι διδασκαλίαν ὁ Φαβωρῖνός φησιν. ὀνομάζουσι δ’ οὕτως οἱ Ἀκαδημαϊκοὶ καθ’ ἣν τοῖς ἀντικειμένοις συναγορεύουσιν. οἱ μὲν οὖν παλαιότεροι τελευτᾶν αὐτὴν εἰς ἐποχὴν ὑπολαμβάνουσιν, ἐποχὴν καλοῦντες τὴν ὡς ἂν εἴποι τις ἀοριστίαν, ὅπερ ἐστὶ περὶ μηδενὸς πράγματος ὁρίσασθαι μηδ’ ἀποφήνασθαι βεβαίως· οἱ νεώτεροι δέ, οὐ γὰρ μόνος ὁ Φαβωρῖνος, ἐνίοτε μὲν εἰς τοσοῦτον προάγουσι τὴν ἐποχήν, ὡς μηδὲ τὸν ἥλιον ὁμολογεῖν εἶναι καταληπτόν, ἐνίοτε δ’ εἰς τοσοῦτον τὴν γνῶσιν, ὡς καὶ τοῖς μαθηταῖς ἐπιτρέπειν αὐτὴν ἄνευ τοῦ διδαχθῆναι πρότερον ἐπιστημονικὸν κριτήριον. οὐδὲ γὰρ ἄλλο τί ἐστιν ὃ Φαβωρῖνος εἴρηκεν ἐν τῷ ‘Περὶ τῆς Ἀκαδημαϊκῆς διαθέσεωσ‘, ὃ ‘Πλούταρχοσ‘ ἐπιγέγραπται. λέγει δὲ 〈τ〉 αὐτὸ 〈ν〉 ἐν τῷ ‘Πρὸς Ἐπίκτητον‘, ἐν ᾧ δῆθέν ἐστιν Ὀνήσιμος ὁ Πλουτάρχου δοῦλος Ἐπικτήτῳ διαλεγόμενος. καὶ μέντοι κἀν τῷ μετὰ ταῦτα γραφέντι βιβλίῳ, τῷ ‘Ἀλκιβιάδῃ‘, καὶ τοὺς ἄλλους [τοὺς] Ἀκαδημαϊκοὺς ἐπαινεῖ συναγορεύοντας μὲν ἑκατέρῳ τῶν ἀντικειμένων ἀλλήλοις λόγων, ἐπιτρέποντας δὲ τοῖς μαθηταῖς αἱρεῖσθαι τοὺς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀληθεστέρους. ἀλλ’ ἐν τούτῳ μὲν εἴρηκε πιθανὸν ἑαυτῷ φαίνεσθαι μηδὲν εἶναι καταληπτόν, ἐν δὲ τῷ Πλουτάρχῳ συγχωρεῖν ἔοικεν εἶναί τι βεβαίως γνωστόν. ἄμεινον γὰρ οὕτως ὀνομάζειν τὸ καταληπτὸν ἀποχωροῦντας ὀνόματος Στωικοῦ. καὶ ἔγωγ’ ἐθαύμαζον νὴ τοὺς θεούς, ὅπως ὁ Φαβωρῖνος εἰς τὴν τῶν Ἀττικῶν φωνὴν εἰωθὼς μεταλαμβάνειν ἕκαστα τῶν ὀνομάτων οὐ παύεται λέγων οὔτε τὸ καταληπτὸν οὔτε τὴν κατάληψιν οὔτε τὴν καταληπτικὴν φαντασίαν οὔτε τὰ τούτοις ἀντικείμενα, οἷον στερητικῶς λεγόμενα, 〈τὴν〉 ἀκατάληπτον φαντασίαν ἢ τὴν ἀκαταληψίαν αὐτήν· ὥστε καὶ τρία βιβλία γράψας, ἓν μὲν πρὸς Ἀδριανόν, ἕτερον δὲ πρὸς Δρύσωνα καὶ τρίτον πρὸς Ἀρίσταρχον, ἅπαντα ‘Περὶ τῆς καταληπτικῆς φαντασίασ‘ ἐπέγραψε, καὶ καθ’ ὅλα γε αὐτὰ γενναίως ἀγωνίζεται πειρώμενος ἐπιδεικνύναι τὴν καταληπτικὴν φαντασίαν ἀνύπαρκτον.

28,2 Ἐγὼ δὲ οὔτ’ ἄλλο τι 〈τὸ〉 καταληπτὸν ἡγοῦμαι σημαίνειν παρὰ τὸ βεβαίως γνωστὸν οὔτ’ ἄλλο τι τὸ καταλαμβάνεσθαι τοῦ βεβαίως γιγνώσκειν, ἀνάλογον δ’ αὐτοῖς λέγεσθαι τήν τε κατάληψιν καὶ τὴν καταληπτικὴν φαντασίαν. ἐπειδὴ γὰρ ἔνια μὲν οἰόμεθα βλέπειν ἢ ἀκούειν ἢ ὅλως αἰσθάνεσθαι, καθάπερ ἐν ὀνείροις καὶ μανίαις, ἔνια δ’ οὐκ οἰόμεθα μόνον ἀλλὰ καὶ κατ’ ἀλήθειαν ὁρῶμεν ἢ ὅλως αἰσθανόμεθα, ταυτὶ μὲν τὰ δεύτερα πάντες ἄνθρωποι πλὴν Ἀκαδημαϊκῶν τε καὶ Πυρρωνείων εἰς βεβαίαν γνῶσιν ἥκειν νομίζουσιν, ἃ δ’ ὄναρ ἢ παραπαιόντων ἡ ψυχὴ φαντάζεται, ψευδῆ πάνθ’ ὑπάρχειν. εἰ μὲν δὴ συγχωροῦσιν αὐτὸ τοῦθ’ οὕτως ἔχειν, ἐξαλειψάτωσαν ἐν οἷς γράφουσιν μήτε τοῦ μαινομένου τὸν σωφρονοῦντα μήτε τοῦ νοσοῦντος τὸν ὑγιαίνοντα μήτε τοῦ κοιμωμένου τὸν ἐγρηγορότα πιστότερον ὑπάρχειν εἰς τὴν τῶν πραγμάτων γνῶσιν. εἰ δ’ οὐδὲν μᾶλλον ἐκείνοις ἐστὶν ἢ τοῖς ἐναντίως διακειμένοις γνωστόν, συγκέχυται μὲν δήπου τὰ τῆς ἀληθείας κριτήρια 〈καὶ〉 οὔτ’ αὐτὸς ὁ διδάσκαλος ὁ Ἀκαδημαϊκὸς οὔθ’ ὁ μαθητὴς αὐτοῦ δυνήσεται κρῖναι τοὺς εἰς ἑκάτερα τῶν ἀντικειμένων εἰρημένους λόγους. ἔτι δὲ οὐ δεησόμεθα τὴν ἀρχὴν ἡμεῖς τοιούτων διδασκάλων, δυνάμενοί γε καὶ αὐτοὶ τὰ γεγραμμένα τοῖς ἀπὸ τῶν αἱρέσεων ἀναγιγνώσκειν καὶ οὐδὲν ἧττον τῶν Ἀκαδημαϊκῶν εἰδέναι, κἂν ἀσαφὲς αὐτῶν τι ᾖ, τὸ μὲν παρὰ τῷ Χρυσίππῳ τοῖς Στωικοῖς διδασκάλοις ἀσφαλέστερον ἀναφέρειν ἐστί, τὸ δὲ παρὰ Θεοφράστῳ καὶ Ἀριστοτέλει τοῖς Περιπατητικοῖς. οὕτω δὲ κἀπὶ τῶν ἄλλων, ὥστε οὐδὲν ἄν τι λείποιτο πρὸς διδασκαλίαν τοῖς Ἀκαδημαϊκοῖς, 〈ὅσ〉ον ἐπὶ τῷ Φαβωρίνου λόγῳ. τοῖς μὲν γὰρ πρεσβυτέροις αὐτὸ δὴ τοῦτο ἦν δίδαγμα, τὸ μηδὲν εἶναι κριτήριον ἀνθρώπῳ δεδομένον ὑπὸ τῆς φύσεως, ᾧ παραβάλλων ἕκαστον τῶν ὄντων ἀκριβῶς διαγνώσεται· διὸ μηδ’ ἀποφήνασθαι περὶ μηδενὸς ἠξίουν ἀλλὰ περὶ πάντων ἐπέχειν. Ἀλλ’ εἰ δὴ τοῖς φυσικοῖς κριτηρίοις αἴσθησιν ἱκανῶς συγχωρήσουσιν ἡμῖν, οὐδὲν ἔτι δεησόμεθα τῆς εἰς ἑκάτερα ἐπιχειρήσεως, ἀλλ’ ἑτέρου τινός· ἀπαιτήσεις μᾶλλον μὲν τοὺς τεχνίτας, παρέχοντας τοῖς μαθηταῖς, εὐθέως [ἀλλ’ ἑτέρου] τὸ λογίζεσθαι, τὸ καλούμενον ὑπὸ τῶν πολλῶν ψηφίζειν. τοῦτο δ’ ἔστι 〈...〉 ἐπιστατεῖ τῷ γυμναζομένῳ καὶ τούτοις προσέχων τὸν νοῦν ἐν οἷς σφάλλεται καὶ ταῦτα ἐπανορθούμενος μόνα. παραπλησίως δὲ καὶ ὁ παιδοτρίβης ἐπανορθοῦται τὰ τῶν παλαιόντων ἁμαρτήματα, καὶ ὁ γραμματικὸς καὶ ὁ ῥήτωρ καὶ ὁ γεωμέτρης καὶ ὁ μουσικὸς οὕτω διδάσκουσιν, οὐ διασείοντες οὐδὲ σαλεύοντες τῶν μαθητῶν ἣν ἔχουσι πίστιν ἐπὶ τοῖς φυσικοῖς κριτηρίοις, ἀλλ’ ἐφεστῶτες αὐτοῖς γυμναζομένοις ἄχρι περ ἂν ἀναμαρτήτους ἀποδείξωσι τὰς κατὰ μέρος ἐνεργείας· ἀλλ’ οὐχ 〈οἱ〉 τὴν ἐποχὴν εἰσάγοντες· οὗτοι γάρ εἰσιν οἱ καὶ ταῖς ἐναργέσιν αἰσθήσεσιν ἀπιστεῖν ἀνατιθέντες ἢ τῶν ὑπό του βεβαίως γιγνωσκομένων καταφρονεῖν. ὁ γοῦν Καρνεάδης οὐδὲ τοῦτο τὸ πάντων ἐναργέστατον συγχωρεῖ πιστεύειν, ὅτι τὰ τῷ αὐτῷ ἴσα μεγέθη καὶ ἀλλήλοις ἴσα γίγνεται. καὶ μὲν οὖν λόγους, οἷς ἐπιχειρεῖ λύειν καὶ ταῦτα καὶ ἄλλα πάμπολλα τῶν ἐναργῶς τι εἶναί σοι φαινομένων τε καὶ πιστευομένων, ἔτι καὶ εἰς τόδε σωζομένους ἔχομεν· ἀπόκεινται γὰρ ἐν

γράμμασιν ὑπὸ τῶν μαθητῶν αὐτοῦ θησαυρισθέντες· αἱ λύσεις δ’ οὔθ’ ὑπ’ ἐκείνου οὔθ’ ὑπ’ ἄλλου τινὸς εἴρηνται τῶν μετ’

28,2 (50) αὐτὸν Ἀκαδημαϊκῶν. ἆρ’ οὖν, εἰ καὶ μηδὲν ἄλλο, τοῦτο γοῦν ἐδήλωσε μόνον ὅτι σοφίσματά εἰσιν οἱ λόγοι πάντες οὗτοι καὶ ζητητέον τὴν λύσιν αὐτῶν ὑμῖν, ὦ μαθηταί; μοχθηρὸν μὲν γὰρ τοῦτο, μετριώτερον δ’ ὅμως οὗ πεποιήκασιν οἱ γράψαντες μὲν αὐτούς, μὴ δηλώσαντες δ’ ἡμῖν ὁποῖοί τινές εἰσιν.

28,3 Ἡδέως δ’ ἂν ἠρόμην, εἰ παρῆν ὁ Φαβωρῖνος, ἆρά γε κελεύει με πείθεσθαι αὐτοῖς ἅπασι τοῖς λόγοις ἢ σκοπεῖσθαι πότερον ἀληθεῖς εἰσιν ἢ ψευδεῖς. εἰ γὰρ δὴ σκοπεῖσθαι συνεχώρησεν, ἠρόμην [δ’] ἂν ἐπὶ τῷδε πάντως, εἰ φύσει πᾶσιν ἀνθρώποις ὑπάρχει διακρίνειν ἀληθεῖς λόγους ψευδῶν ἢ μέθοδός ἐστι τῆς ἑκατέρων γνώσεως. εἰ μὲν γὰρ φύσει, πῶς οὐχ ὁμολογοῦμεν ἀλλήλοις ἅπαντες οὐδ’ ὡσαύτως ἀποφαινόμεθα περὶ τῶν αὐτῶν; εἰ δὲ μέθοδός τίς ἐστιν, αὐτὴν 〈μὲν ἂν〉 πρώτην μαθεῖν ἐδεήθην, ἑξῆς δὲ ἐπιστατοῦντος αὐτοῦ γυμνάσασθαι πολυειδῶς ἐπὶ παραδειγμάτων πλειόνων, ὥσπερ οἱ παλαίειν μανθάνοντες ἢ σκυτοτομεῖν ἢ οἰκοδομεῖν ἢ ναυπηγεῖν ἢ ῥητορεύειν ἢ ἀναγιγνώσκειν ἢ γράφειν ἢ ὅλως ὁτιοῦν ἐνεργεῖν κατὰ τέχνην. Εἰ μὲν οὖν ἔγραψέ τις τῶν Ἀκαδημαϊκῶν, οἷον μέν τι χρῆμά ἐστιν ἀπόδειξις, οἷον δὲ σόφισμα καὶ ὡς χρὴ διαγιγνώσκειν αὐτὰ καὶ ὡς χρὴ γυμνάζεσθαι κατὰ ταῦτα, προσηκόντως [ὡς] ὁ Φαβωρῖνος ἐπιτρέπει τὴν κρίσιν τῶν εἰς ἑκάτερα ἐπιχειρουμένων τοῖς μαθηταῖς, πλὴν ὅτι περιττόν ἐστι, εἰ διδάσκει ὁ Ἀκαδημαϊκὸς ἕκαστον τῶν εἰρημένων, ἐχόντων γε ἡμῶν τοὺς ἰδίους τῶν δογμάτων διδασκάλους· εἰ δ’ οὔτ’ ἔγραψέ τις ὑπὲρ τῆς διαφορᾶς αὐτῶν οὔτ’ ἐγύμνασεν, ὅμοιόν τι ποιεῖ τέκτονι κελεύοντι τῷ μαθητῇ μετρῆσαί τε καὶ στῆσαι καὶ ἀποτεῖναι καὶ κύκλον γράψαι χωρὶς τοῦ πῆχυν δοῦναι καὶ ζυγὸν καὶ κανόνα καὶ καρκίνον. ἀλλ’ ἴσως φησὶ μηδὲν εἶναι τοιοῦτον ἐν φιλοσοφίᾳ καὶ δόγμασι. μὴ τοίνυν ἔτι προσποιοῦ γιγνώσκειν τι μηδ’ ἀποφάναι μηδ’ ἀποδίδρασκε τὴν ὑπὸ τῶν πρεσβυτέρων Ἀκαδημαϊκῶν εἰσαγομένην ἐποχήν, μηδὲ σεμνύνου γραμματικοῦ ποιῶν ἔργον, ἃ μὲν εἰρήκασιν οἱ πρόσθεν ἐκμεμελετηκώς, ὅ τι δὲ αὐτῶν ὑγιές ἐστιν οὐδ’ ὅλως ἐννοῶν· οὐδὲ γὰρ διδασκάλου τό γε τοιοῦτόν ἐστιν, ἀλλ’ ἀδολεσχία τις ἢ λῆρος. Πόθεν οὖν ἐλπὶς ὑπολείπεται τῆς τῶν ἀληθῶν εὑρέσεως; ᾧ γὰρ οὐδὲν ὑπάρχει κριτήριον ἀληθῶν καὶ ψευδῶν, ἀνέλπιστος ἡ γνῶσις αὐτῶν. ἐνεχείρησε 〈δ’ οὗτοσ〉 διδάξαι μόνον σοφιστὰς μηδὲν ἡμῖν ὑπάρχειν κριτήριον σύμφυτον, ὥστε γε μετὰ τοῦτο τολμηρῶς 〈....〉. ἡμῖν μέντοι ἴσως, φᾶσιν αἴσθησίν τε καὶ νόησιν ἐναργῆ κριτήρια τῆς ἀληθείας εἶναι, συγχωρήσειεν ἄν τις ἐν λογικοῖς καλινδεῖσθαι, βουκολούμενος ἐλπίσι ματαίαις· ὅσοι δ’ ἀνῃρήκασιν ὅλην τὴν ἐλπίδα, καθάπερ οὗτος, μάτην ἐφλυάρουν. εὔδηλος οὖν ἐστιν ὁ Φαβωρῖνος αἰδούμενος μὲν ἀνατρέπειν πάντα καὶ ἀγνοῶν ὑπάρχειν ὁμολογεῖν ὃ μὴ ὑπάρχειν οἱ πρόσθεν ἔλεγον Ἀκαδημαϊκοί τε καὶ Πυρρώνειοι, προσποιούμενος δ’ ἐπιτρέπειν τὴν κρίσιν τοῖς μαθηταῖς, ἣν οὐδ’ ἑαυτοῖς ἐπέτρεψαν οἱ πρὸ αὐτοῦ.

28,4 Ὅτι μὲν οὖν ἡ τοιαύτη διδασκαλία τῶν μανθανόντων ὁτιοῦν, οἵαν ἐννοεῖται Φαβωρῖνος, οὐ μόνον οὐκ ἔστιν ἀρίστη τῶν ἄλλων, ἀλλ’ οὐδὲ διδασκαλία, τὴν ἀρχὴν ἐναργῶς οἶμαι δεδιδάχθαι· ἃς δ’ οἱ λοιποὶ πάντες, διδασκαλίαι μέν εἰσιν, εἰ δ’ ἄρισται σκοπῶμεν ἐξ ἀρχῆς, ἀπὸ τῶν αὐτῶν αὖθις ἀρξάμενοι. φαίνεται γὰρ ἡμῖν ἐναργῶς τοῦτο, κἂν ὅτι μάλιστ’ αὐτοῖς ἄπιστον ἐργάσασθαι σπουδάζωσιν οἱ σοφισταί, [μηδὲν] εἶναι κριτήριον φυσικόν· ὁ μὲν γὰρ καρκίνος γράφει τὸν κύκλον, ὁ δὲ πῆχυς διακρίνει τὰ μήκη καθάπερ ὁ ζυγὸς τὰ βάρη. ταῦτα δ’ αὐτὸς κατεσκεύασεν ἄνθρωπος ἐκ τῶν φυσικῶν ὀργάνων τε καὶ κριτηρίων ὁρμώμενος, ὧν ἀπωτέρω κριτήριον οὔτε πρεσβύτερον οὔτε σεμνότερον ἔχομεν. δεῖ τοίνυν ἐντεῦθεν ἄρχεσθαι. λέγει γὰρ πάλιν ὁ νοῦς ὡς πιστεῦσαι μὲν ἢ ἀπιστῆσαι τῷ φυσικῷ κριτηρίῳ δυνατὸν ἡμῖν ἐστι, κρῖναι δὲ οὐ δυνατὸν αὐτὸ δι’ ἑτέρου τινός· ᾧ γὰρ κρίνεται τἆλλα πάντα, πῶς ἂν τοῦτο πρὸς ἄλλου κριθείη; πιστεύειν βούλει τοῖς ὀφθαλμοῖς ἐναργῶς ὁρῶσι καὶ τῇ γλώττῃ γευομένῃ τουτὶ μὲν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μῆλον εἶναι, τουτὶ δὲ σῦκον, ἢ μὴ πιστεύειν; πείσομαι ὃ βούλει ποιεῖν ἐφ’ ἡμῖν. εἰ μέντοι σπεύδεις διαλέγεσθαί μοι, 〈....〉 μὴ πιστεύοντος δὲ ὡς παρὰ φύσιν ἔχοντος ἀφίσταμαι. κείσθω πρότερον ἀπιστεῖν σε, μηδὲν ἔλπιζε μαθήσεσθαι παρ’ ἐμοῦ· τοῦτο γὰρ ἄρτι πέπαυμαι λέγων. ὑποκείσθω δέ σε πιστεύειν, ἔλπιζε μαθήσεσθαι παρ’ ἐμοῦ κρίνειν ἃ λέγω, τὰ μὲν αἰσθητὰ τοῖς ἐναργῶς αἰσθήσει φαινομένοις, τὰ δὲ νοητὰ τοῖς ἐναργῶς νοουμένοις. ἐπεὶ δ’ ἐκ τῶν φυσικῶν κριτηρίων αἱ τέχναι πᾶσαι κατασκευάζουσιν ὄργανά τε καὶ κριτήρια τεχνικά, δι’ ὧν τὰ μὲν αὐτοὶ συντιθέασι, τὰ δ’ ὑφ’ ἑτέρων συγκείμενα κρίνουσι, κἀγὼ διδάξω λόγων ὄργανά τε καὶ κριτήρια, τὰ μὲν οἷς κατασκευάσεις τοὺς ἀληθεῖς, τὰ δ’ οἷς τοὺς ὑφ’ ἑτέρων γεγονότας κρινεῖς. ἔχει γὰρ οὕτω τὸ πᾶν· εἰ μὲν ἐξ αὑτοῦ τι φαίνεται πρὸς αἴσθησιν ἢ νόησιν ἐναργῶς, οὐ χρῄζει τοῦτο ζητήσεως, εἰ δὲ μή τι τοιοῦτον ὑπάρχει, τῆς ἐξ ἑτέρου δὴ προσδεῖται γνώσεως. ἐγὼ μὲν ἐπαγγέλλομαί σοι διδάξειν ἔνια μὲν τοῖς κατὰ τὰς τέχνας ὀργάνοις ἀνάλογα, ἐξ ὧν εὑρήσεις τὸ ζητούμενον, ἔνια δὲ τοῖς κριτηρίοις, ἐξ ὧν τὸ δοκοῦν εὑρῆσθαι κρινεῖς. ἐπειδὰν δὲ μάθῃς ταῦτα, ἐπὶ πολλῶν παραδειγμάτων γυμνάσω σε ταχέως τε ἅμα καὶ ἀκριβῶς εὑρίσκειν καὶ κρίνειν τὸ ζητούμενον, ὥστ’ οὔτε βιβλίου δεήσῃ τινὸς ἔτι ἤδη πρὸς τὴν τῶν ἀληθῶν εὕρεσιν οὔτε διδασκαλίας ἑτέρας, εὐθὺς δὲ δήπου καὶ τοὺς ἄλλο τι λέγοντας ὧν εὗρες ἑτοίμως γνωριεῖς· ὥσπερ γὰρ ὁ τὴν εὐθεῖαν ὁδὸν γιγνώσκων μίαν οὖσαν οὐ δεῖται διδασκαλίας ἑτέρας εἰς ἔλεγχον τῶν πεπλανημένων, οὕτως ὁ τὴν εὐθεῖαν ὁδὸν τῆς ἀποδείξεως ἐκμαθὼν εὐθὺς ἅμα ταύτῃ καὶ τὰς πεπλανημένας γνωρίζει.

28,5 Φαβωρῖνος δέ μοι δοκεῖ παραπλήσιόν τι ποιεῖν τῷ φάσκοντι τυφλὸν μὲν εἶναι Δίωνα φύσει, δύνασθαι δὲ κρῖναι πότερος ἡμῶν ἐστι ῥυπαρώτερος ἢ λευκότερος, οὐκ ἐννοῶν ὅτι τῷ [μὲν] μέλλοντι τὰ τοιαῦτα κρίνειν ὑπάρχειν χρὴ πρότερον ὄψιν. οὐ μὴν οὐδὲ διαφέρει πρὸς τὴν κρίσιν ἢ μηδ’ ὅλως ἔχειν ὄψιν ἢ ἔχοντα μὴ πιστεύειν αὐτῇ. κατὰ δὲ τὸν αὐτὸν τρόπον ὅσα νῷ κρίνομεν, ὁποῖόν ἐστι καὶ 〈τὸ〉 ὅσα τῷ αὐτῷ ἴσα καὶ ἀλλήλοις ἴσα ὑπάρχει, καθάπερ τοῖς ὄνοις οὐκ ἄν τις ἐπιτρέψειεν, ὅτι μηδ’ ὅλως ἔχουσι νοῦν, οὕτως οὐδὲ τοῖς ἀνθρώποις, εἰ μηδ’ οὗτοι πιστὸν ἔχουσι τὸν νοῦν· οὐδὲν γὰρ διαφέρει πρὸς τὴν τῶν κρινομένων διδασκαλίαν [ἀπιστίαν] ἢ μηδ’ ὅλως ἔχειν τι κριτήριον ἢ μὴ πιστεύειν αὐτῷ. γελοῖος οὖν ἐστιν ὁ Φαβωρῖνος ἐπιτρέπων κρίνειν τοῖς μαθηταῖς ἄνευ τοῦ συγχωρῆσαι τὴν πίστιν τοῖς κριτηρίοις. εἰ γὰρ οὐδέν ἐστιν ἐναργὲς τῷ νῷ ἢ πιστὸν ἐξ αὑτοῦ, διέφθαρται πάντων ἡ κρίσις. εἰ δ’ ἔστι μὲν ὥσπερ ὀφθαλμὸς ἐν σώματι τοιοῦτος ἐν ψυχῇ νοῦς, οὐ μὴν ἅπασί γε ὁμοίως ὀξύς, ἐγχωρεῖ, καθάπερ 〈ὁ〉 βλέπων ὀξύτερον ἐπάγει πρὸς τὸ θέαμα τὸν ἀμβλύτερον ὁρῶντα, κατὰ τὸν αὐτὸν τρόπον καὶ ἐπὶ τῶν νοημάτων ὑπὸ τοῦ φθάσαντος ἰδεῖν ἐναργῶς τὸ νοητὸν ἐπάγεσθαι πρὸς τὴν θέαν αὐτοῦ τὸν ἀμβλύτερον. καὶ τοῦτ’ ἔστιν ὁ διδάσκαλος, ὡς ὁ Πλάτων τέ φησι κἀγὼ πείθομαι. καὶ γέγραπταί γέ μοι περὶ τούτων ἐπὶ πλέον ἐν τῇ τῆς ἀποδείξεως πραγματείᾳ, ὅτι, τοιαύτη τις οὖσα, ἣν πρὸς τὴν νόησιν ἐνεργὴς ἡ διδασκαλία· γέγραπται δὲ καὶ ὅπως ἄν τις ὁρμώμενος ἀπὸ τῶν ἐν ἑκάστῳ στοιχείων καὶ ἀρχῶν ἀποδεικνύοι κάλλιστα πᾶν ὅσον ἀποδειχθῆναι δυνατόν, οὐχ ὡς ὁ θαυμαστὸς Φαβωρῖνος, 〈ὃσ〉 ἓν ὅλον γράψας βιβλίον, ἐν ᾧ δείκνυσι μηδὲ τὸν ἥλιον εἶναι καταληπτόν, ὡς ἐπιλήσμοσιν ἡμῖν ἑτέρωθι διαλέγεται συγχωρῶν τι βεβαίως εἶναι γνωστὸν καὶ τοῦτ’ ἐπιτρέπων αἱρεῖσθαι τοῖς μαθηταῖς.

29 Galen., de opt. gen. doc. c. 1 fin. (p. 179, 26 sqq.) ὥστε καὶ τρία βιβλία γράψας, ἓν μὲν πρὸς Ἀδριανόν, ἕτερον δὲ πρὸς Δρύσωνα καὶ τρίτον πρὸς Ἀρίσταρχον, ἅπαντα Περὶ τῆς καταληπτικῆς φαντασίας ἐπέγραψε, καὶ καθ’ ὅλα γ’ αὐτὰ γενναίως ἀγωνίζεται πειρώμενος ἐπιδεικνύναι τὴν καταληπτικὴν φαντασίαν ἀνύπαρκτον.

30 Galen., de opt. gen. doc. c. 1 (p. 179, 12 sq.) λέγει δὲ 〈τ〉αὐτὸ〈ν〉 ἐν τῷ Πρὸς Ἐπίκτητον, ἐν ᾧ δῆθέν ἐστιν Ὀνήσιμος ὁ Πλουτάρχου δοῦλος Ἐπικτήτῳ διαλεγόμενος.

31

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Galen., de opt. gen. doc. c. 1 (p. 179, 14 sqq.) καὶ μέντοι κἂν τῷ μετὰ ταῦτα γραφέντι βιβλίῳ, τῷ Ἀλκιβιάδῃ, καὶ τοὺς ἄλλους Ἀκαδημαϊκοὺς ἐπαινεῖ συναγορεύοντας μὲν ἑκατέρῳ τῶν ἀντικειμένων ἀλλήλοις λόγων, ἐπιτρέποντας δὲ τοῖς μαθηταῖς αἱρεῖσθαι τοὺς ἀληθεστέρους. ἀλλ᾽ ἐν τούτῳ μὲν εἴρηκε πιθανὸν ἑαυτῷ φαίνεσθαι μηδὲν εἶναι καταληπτόν, ἐν δὲ τῷ Πλουτάρχῳ συγχωρεῖν ἔοικεν εἶναί τι βεβαίως γνωστόν. Galen., ib. c. 5 (p. 186, 9 sqq.) οὐχ ὡς ὁ θαυμαστὸς Φαβωρῖνος, 〈ὃσ〉 ἓν ὅλον γράψας βιβλίον, ἐν ᾧ δείκνυσι μηδὲ τὸν ἥλιον εἶναι καταληπτόν, ὡς ἐπιλήσμοσιν ἡμῖν ἑτέρωθι διαλέγεται συγχωρῶν τέ τι βεβαίως εἶναι γνωστὸν καὶ τοῦτ᾽ ἐπιτρέπων αἱρεῖσθαι τοῖς μαθηταῖς.

32 Diog. L. I 79 (de Pittaco) γέγονε δὲ καὶ ἕτερος Πιττακὸς νομοθέτης, ὥς φησι Φαβωρῖνος ἐν Ἀπομνημονευμάτων πρώτῳ καὶ Δημήτριος ἐν Ὁμωνύμοις, ὃς καὶ μικρὸς προσηγορεύθη.

33 Diog. L. II 23 (de Socrate) (Ἴων δὲ ὁ Χῖος καὶ νέον ὄντα εἰς Σάμον σὺν Ἀρχελάῳ ἀποδημῆσαι· καὶ Πυθώδε ἐλθεῖν Ἀριστοτέλης φησίν·) ἀλλὰ καὶ εἰς Ἰσθμόν, ὡς Φαβωρῖνος ἐν τῷ πρώτῳ τῶν Ἀπομνημονευμάτων.

34 Diog. L. II, 39—40 (de Socrate) Φαβωρῖνος δέ φησιν ἐν τῷ πρώτῳ τῶν Ἀπομνημονευμάτων μὴ εἶναι ἀληθῆ τὸν λόγον τὸν Πολυκράτους κατὰ Σωκράτους· ἐν αὐτῷ γάρ, φησί, μνημονεύει τῶν ὑπὸ Κόνωνος τειχῶν ἀνασταθέντων, ἃ γέγονεν ἔτεσιν ἓξ τῆς τοῦ Σωκράτους τελευτῆς ὕστερον. καὶ ἔστιν οὕτως ἔχον. ἡ δ᾽ ἀντωμοσία τῆς δίκης τοῦτον εἶχε τὸν τρόπον· ἀνάκειται γὰρ ἔτι καὶ νῦν, φησὶ Φαβωρῖνος, ἐν τῷ Μητρῴῳ· «τάδε ἐγράψατο καὶ ἀντωμόσατο Μέλητος Μελήτου Πιτθεὺς Σωκράτει Σωφρονίσκου Ἀλωπεκῆθεν· ἀδικεῖ Σωκράτης, οὓς μὲν ἡ πόλις νομίζει θεοὺς οὐ νομίζων, ἕτερα δὲ καινὰ δαιμόνια εἰσηγούμενος· ἀδικεῖ δὲ καὶ τοὺς νέους διαφθείρων. τίμημα θάνατος».

35 Diog. L. III, 20 (de Platone) τὸν μέντοι Πόλλιν λόγος ὑπό τε Χαβρίου ἡττηθῆναι καὶ μετὰ ταῦτα ἐν Ἑλίκῃ καταποντωθῆναι, τοῦ δαιμονίου μηνίσαντος διὰ τὸν φιλόσοφον, ὡς καὶ Φαβωρῖνός φησιν ἐν πρώτῳ τῶν Ἀπομνημονευμάτων.

36 Diog. L. III 25 (de Platone) ἐν δὲ τῷ πρώτῳ τῶν Ἀπομνημονευμάτων Φαβωρίνου φέρεται ὅτι Μιθριδάτης ὁ Πέρσης ἀνδριάντα Πλάτωνος ἀνέθετο εἰς τὴν Ἀκαδήμειαν καὶ ἐπέγραψε· «Μιθριδάτης ὁ Ῥοδοβάτου Πέρσης Μούσαις εἰκόνα ἀνέθηκε Πλάτωνος, ἣν Σιλανίων ἐποίησε».

37 Diog. L. V 76 (de Demetrio Phalereo) .... οὐκ εὐγενὴς ὤν. ἦν γὰρ ἐκ τῆς Κόνωνος οἰκίας, ὡς Φαβωρῖνος ἐν πρώτῳ τῶν Ἀπομνημονευμάτων φησίν· ἀλλ᾽ ἀστῇ καὶ εὐγενεῖ συνῴκει Λαμίᾳ τῇ ἐρωμένῃ, καθάπερ ὁ αὐτὸς ἐν τῷ πρώτῳ φησίν.

38 Diog. L. IX 20 (de Xenophane) δοκεῖ δὲ πεπρᾶσθαι ὑπὸ 〈.... καὶ λελύσθαι ὑπὸ〉 τῶν Πυθαγορικῶν Παρμενίσκου καὶ Ὀρεστάδου, καθά φησι Φαβωρῖνος ἐν Ἀπομνημονευμάτων πρώτῳ.

39 Diog. L. IV 5 (de Speusippo) φησὶ δὲ καὶ Φαβωρῖνος ἐν δευτέρῳ Ἀπομνημονευμάτων ὡς Ἀριστοτέλης αὐτοῦ τὰ βιβλία τριῶν ταλάντων ὠνήσατο.

40 Diog. L. V 21 (de Aristotele) φησὶ δὲ Φαβωρῖνος ἐν τῷ δευτέρῳ τῶν Ἀπομνημονευμάτων ὡς ἑκάστοτε λέγοι· ‘ᾧ φίλοι, οὐδεὶς φίλοσ‘.

41 Diog. L. V 76 (de Demetrio Phalereo; post ea quae sunt in fr. 37) ἀλλὰ καὶ ὑπὸ Κλέωνος πεπονθέναι ἐν τῷ δευτέρῳ ἱστορεῖ (sc. Favorinus).

42 παρακαλῶν (sc. Crates) περί του τὸν γυμνασίαρχον, τῶν ἰσχίων αὐτοῦ ἥπτετο· ἀγανακτοῦντος δέ, ἔφη· ‘τί γάρ; οὐχὶ καὶ ταῦτα σά ἐστι, καθάπερ καὶ τὰ γόνατα;‘

43 Diog. L. III 40 (de Platone) καὶ ἐτελεύτα μὲν ὃν εἴπομεν τρόπον (III 2), Φιλίππου βασιλεύοντος ἔτος τρισκαιδέκατον, καθὰ καὶ Φαβωρῖνός φησιν Ἀπομνημονευμάτων τρίτῳ.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

44 Diog. I. VIII 12 (de Pythagora) λέγεται δὲ καὶ πρῶτος κρέασιν ἀσκῆσαι ἀθλητάς, καὶ πρῶτόν γ’ Εὐρυμένην, καθά φησι Φαβωρῖνος ἐν τρίτῳ τῶν Ἀπομνημονευμάτων.

45 Diog. L. III 62 (de Platone) ὧν (τῶν νοθευομένων διαλόγων) ἡ Ἀλκυὼν Λεόντός τινος εἶναι δοκεῖ, καθά φησι Φαβωρῖνος ἐν τῷ πέμπτῳ τῶν Ἀπομνημονευμάτων.

46 Diog. L. IX 23 (de Parmenide) καὶ δοκεῖ πρῶτος πεφωρακέναι τὸν αὐτὸν εἶναι Ἕσπερον καὶ Φωσφόρον, ὥς φησι Φαβωρῖνος ἐν πέμπτῳ τῶν Ἀπομνημονευμάτων· οἱ δὲ Πυθαγόραν.

47 Diog. L. III 48 (de Platone) (διαλόγους τοίνυν φασὶ πρῶτον γράψαι Ζήνωνα τὸν Ἐλεάτην·) Ἀριστοτέλης δὲ ἐν πρώτῳ Περὶ ποιητῶν (fr. 72 R.) Ἀλεξαμενὸν Στυρέα ἢ Τήιον, ὡς καὶ Φαβωρῖνος ἐν Ἀπομνημονεύμασιν.

48 Diog. L. VIII 53 (de Empedocle) ἐγὼ δὲ εὗρον ἐν τοῖς Ὑπομνήμασι Φαβωρίνου ὅτι καὶ βοῦν ἔθυσε τοῖς θεωροῖς ὁ Ἐμπεδοκλῆς ἐκ μέλιτος καὶ ἀλφίτων· καὶ ἀδελφὸν ἔσχε Καλλικρατίδην.

49 Diog. L. VIII 63 (de Empedocle) αὐτοὺς δὲ τούτους τοὺς Καθαρμοὺς Ὀλυμπίασι ῥαψῳδῆσαι λέγεται Κλεομένη τὸν ῥαψῳδόν, ὡς καὶ Φαβωρῖνος ἐν Ἀπομνημονεύμασι.

50 Diog. L. VIII 73 (de Empedocle) πορφύραν τε ἀναλαβεῖν αὐτὸν καὶ στρόφιον ἐπιθέσθαι χρυσοῦν, ὡς Φαβωρῖνος ἐν Ἀπομνημονεύμασιν, ἔτι τ’ ἐμβάδας χαλκᾶς καὶ στέμμα Δελφικόν. κόμη τε ἦν αὐτῷ βαθεῖα καὶ παῖδες ἀκόλουθοι, καὶ αὐτὸς ἀεὶ σκυθρωπὸς ἐφ’ ἑνὸς σχήματος ἦν. τοιοῦτος δὴ προῄει τῶν πολιτῶν ἐντυχόντων καὶ τοῦτο ἀξιωσάντων οἱονεὶ βασιλείας τινὸς παράσημον.

51 Diog. L. VIII 90 (de Eudoxo Cnidio) ὅτε δὲ συνεγένετο ἐν Αἰγύπτῳ Χονούφιδι τῷ Ἡλιουπολίτῃ, ὁ Ἆπις αὐτοῦ θοἰμάτιον περιελιχμήσατο. ἔνδοξον οὖν αὐτόν, ἀλλ’ ὀλιγοχρόνιον, ἔφασαν οἱ ἱερεῖς ἔσεσθαι, καθά φησι Φαβωρῖνος ἐν Ἀπομνημονεύμασιν.

53 Steph. Byz. s. v. Τετράπολις τῆς Ἀττικῆς (p. 618, 6 Meineke): ... οἱ οἰκήτορες Τετραπολιεῖς καὶ Τετραπολῖται, ὡς Φαβωρῖνος ἐν πρώτῳ Παντοδαπῆς ὕλης ἱστορικῆς.

54 Steph. Byz. s. v. Ἀλεξάνδρειαι (p. 72, 3 M.) ... τὸ ἐθνικὸν Ἀλεξανδρεύς ... Δίδυμος δὲ παρατίθεται χρῆσιν ἐξ Ἐρατοσθένους τὸ Ἀλεξανδρίτης. Φαβωρῖνος δὲ ἐν 〈πρώ〉τῳ Περὶ παντοδαπῆς ὕλης Ἀλεξανδρειώτην φησί.

55 Diog. L. III 57 (de Platone) ἣν (sc. τὴν Πολιτείαν) καὶ εὑρίσκεσθαι σχεδὸν ὅλην παρὰ Πρωταγόρᾳ ἐν τοῖς Ἀντιλογικοῖς (fr. 5, I 265 Diels) φησι Φαβωρῖνος ἐν Παντοδαπῆς ἱστορίας δευτέρῳ.

56 (19) Versio armena Alex. hist. (R. Raabe, ἱστορία Ἀλεξάνδρου, die arm. Uebers. 1886, p. 8) (post Alexandri educatores memoratos) ἐμνήσθη δὲ καὶ Παφώρανος (= Φαβωρῖνος) τούτων ἐν τῷ τετάρτῳ τόμῳ ἐν ταῖς Παντοδαπαῖς Χαριέσσαις Ἱστορίαις αὐτοῦ.

57 Diog. L. III 24 (de Platone) οὗτος πρῶτος ἐν ἐρωτήσει λόγον παρήνεγκεν, ὥς φησι Φαβωρῖνος ἐν ὀγδόῃ Παντοδαπῆς ἱστορίας· καὶ πρῶτος τὸν κατὰ τὴν ἀνάλυσιν τῆς ζητήσεως τρόπον εἰσηγήσατο Λεωδάμαντι τῷ Θασίῳ· καὶ πρῶτος ἐν φιλοσοφίᾳ ἀντίποδα ὠνόμασε καὶ στοιχεῖον καὶ διαλεκτικὴν καὶ ποιότητα καὶ τοῦ ἀριθμοῦ τὸν προμήκη καὶ τῶν περάτων τὴν ἐπίπεδον ἐπιφάνειαν καὶ θεοῦ πρόνοιαν.

58 Diog. L. VIII 12 (de Pythagora) λέγεται δὲ καὶ πρῶτος κρέασιν ἀσκῆσαι ἀθλητὰς .... τῶν πρότερον ἰσχάσι ξηραῖς καὶ τυροῖς ὑγροῖς, ἀλλὰ καὶ πυροῖς, σωμασκούντων αὐτούς, καθάπερ ὁ αὐτὸς Φαβωρῖνος ἐν ὀγδόῃ Παντοδαπῆς ἱστορίας φησίν.

59 Diog. L. VIII 47—48 (de Pythagora) Ἐρατοσθένης δέ φησι, καθὸ καὶ Φαβωρῖνος ἐν τῇ ὀγδόῃ Παντοδαπῆς ἱστορίας παρατίθεται, τοῦτον εἶναι τὸν πρῶτον ἐντέχνως πυκτεύσαντα ἐπὶ τῆς ὀγδόης καὶ τετταρακοστῆς Ὀλυμπιάδος, κομήτην καὶ ἁλουργίδα φοροῦντα, ἐκκριθῆναί τ’ ἐκ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τῶν παίδων καὶ χλευασθέντα αὐτίκα προσβῆναι τοὺς ἄνδρας καὶ νικῆσαι. δηλοῦν δὲ τοῦτο καὶ τοὐπίγραμμα, ὅπερ ἐποίησε Θεαίτητος. Πυθαγόρην τινά, Πυθαγόρην, ὦ ξεῖνε, κομήτην, ᾀδόμενον πύκτην εἰ κατέχεις Σάμιον, Πυθαγόρης ἐγώ εἰμι. τὰ δ’ ἔργα μου εἴ τιν’ ἔροιο Ἠλείων, φήσεις αὐτὸν ἄπιστα λέγειν.

59a τοῦτον 〈πρῶτον〉 ὁ Φαβωρῖνός φησιν ὅροις χρήσασθαι διὰ τῆς μαθηματικῆς ὕλης, ἐπὶ πλέον δὲ Σωκράτην καὶ τοὺς ἐκείνῳ πλησιάσαντας, καὶ μετὰ ταῦτ’ Ἀριστοτέλην καὶ τοὺς Στωϊκούς. ἀλλὰ μὴν καὶ τὸν οὐρανὸν πρῶτον ὀνομάσαι κόσμον καὶ τὴν γῆν στρογγύλην· ὡς δὲ Θεόφραστος (Phys. Opin. 17) Παρμενίδην (A 44, I 225, 13 Diels): ὡς δὲ Ζήνων (I 276 Arnim), Ἡσίοδον (Th. 127 = fr. 254 Rzach).

60 Diog. L. II 1—2 (de Anaximandro) εὗρε δὲ καὶ γνώμονα πρῶτος καὶ ἔστησεν ἐπὶ τῶν σκιοθήρων ἐν Λακεδαίμονι, καθά φησι Φαβωρῖνος ἐν Παντοδαπῇ ἱστορίᾳ, τροπάς τε καὶ ἰσημερίας σημαίνοντα, καὶ ὡροσκοπεῖα κατεσκεύασε· καὶ γῆς καὶ θαλάσσης περίμετρον πρῶτος ἔγραψεν· ἀλλὰ καὶ σφαῖραν κατεσκεύασε.

61 Diog. L. II 11 (de Anaxagora) δοκεῖ δὲ πρῶτος, καθά φησι Φαβωρῖνος ἐν Παντοδαπῇ ἱστορίᾳ, τὴν Ὁμήρου ποίησιν ἀποφήνασθαι εἶναι περὶ ἀρετῆς καὶ δικαιοσύνης· ἐπὶ πλεῖον δὲ προστῆναι τοῦ λόγου Μητρόδωρον τὸν Λαμψακηνόν (A 2 Vors. II 49, 12), γνώριμον ὄντα αὐτοῦ, ὃν καὶ πρῶτον σπουδάσαι τοῦ ποιητοῦ περὶ τὴν φυσικὴν πραγματείαν.

62 Diog. L. II 20 (de Socrate) καὶ γὰρ πρῶτος, ὥς φησι Φαβωρῖνος ἐν Παντοδαπῇ ἱστορίᾳ, μετὰ τοῦ μαθητοῦ Αἰσχίνου ῥητορεύειν ἐδίδαξε· λέγει δὲ τοῦτο καὶ Ἰδομενεὺς ἐν τῷ περὶ τῶν Σωκρατικῶν· (καὶ πρῶτος περὶ βίου διελέχθη καὶ πρῶτος φιλοσόφων καταδικασθεὶς ἐτελεύτα).

63 Diog. L. II 38 (de Socrate) οὐ φέρων (Anytus) τὸν ὑπὸ Σωκράτους χλευασμὸν πρῶτον μὲν ἐπήλειψεν αὐτῷ τοὺς περὶ Ἀριστοφάνην, ἔπειτα καὶ Μέλητον συνέπεισεν ἀπενέγκασθαι κατ’ αὐτοῦ γραφὴν ἀσεβείας καὶ τῶν νέων διαφθορᾶς. ἀπηνέγκατο μὲν οὖν τὴν γραφὴν ὁ Μέλητος, εἶπε δὲ τὴν δίκην Πολύευκτος, ὥς φησι Φαβωρῖνος ἐν Παντοδαπῇ ἱστορίᾳ .... προητοίμασε δὲ πάντα Λύκων ὁ δημαγωγός.

64 Diog. L. III 3 (de Platone) καὶ ἐγεννήθη κατά τινας ἐν Αἰγίνῃ, ἐν τῇ Φειδιάδου οἰκίᾳ τοῦ Θάλητος, ὥς φησι Φαβωρῖνος ἐν Παντοδαπῇ ἱστορίᾳ, τοῦ πατρὸς αὐτοῦ μετὰ καὶ ἄλλων πεμφθέντος κληρούχου καὶ ἐπανελθόντος εἰς Ἀθήνας, ὁπόθ’ ὑπὸ Λακεδαιμονίων ἐξεβλήθησαν βοηθούντων Αἰγινήταις.

65 Diog. L. III 19 (de Platone) παρέδωκε (Dionysius tyrannus) δ’ αὐτὸν Πόλλιδι τῷ Λακεδαιμονίῳ κατὰ καιρὸν διὰ πρεσβείαν ἀφιγμένῳ, ὥστε ἀποδόσθαι. κἀκεῖνος ἀγαγὼν αὐτὸν εἰς Αἴγιναν ἐπίπρασκεν, ὅτε καὶ Χάρμανδρος Χαρμανδρίδου ἐγράψατο αὐτῷ δίκην θανάτου κατὰ τὸν παρ’ αὐτοῖς τεθέντα νόμον, τὸν πρῶτον ἐπιβάντα Ἀθηναίων τῇ νήσῳ ἄκριτον ἀποθνῄσκειν. ἦν δ’ αὐτὸς ὁ θεὶς τὸν νόμον, καθά φησι Φαβωρῖνος ἐν Παντοδαπῇ ἱστορίᾳ. εἰπόντος δέ τινος, ἀλλὰ κατὰ παιδιάν, φιλόσοφον εἶναι τὸν ἐπιβάντα, ἀπέλυσαν.

66 Diog. L. IV 54 (de Bione Borysthenita) (καὶ ὕστερόν ποτε ἐμπεσὼν εἰς νόσον, ὡς ἔφασκον οἱ ἐν Χαλκίδι—αὐτόθι γὰρ καὶ κατέστρεψε—, περίαπτα λαβεῖν ἐπείσθη καὶ μεταγινώσκειν ἐφ’ οἷς ἐπλημμέλησεν εἰς τὸ θεῖον). ἀπορίᾳ δὲ καὶ τῶν νοσοκομούντων δεινῶς διετίθετο, ἕως Ἀντίγονος αὐτῷ δύο θεράποντας ἀπέστειλε, καὶ ἠκολούθει γε αὐτῷ ἐν φορείῳ, καθά φησι Φαβωρῖνος ἐν Παντοδαπῇ ἱστορίᾳ.

67 Diog. L. IV 63—64 (de Carneade) οὗτός ποτε, Μέντορος τοῦ Βιθυνοῦ μαθητοῦ ὄντος καὶ παρ’ αὐτὸν ἐλθόντος εἰς τὴν διατριβήν, ὡς ἐπείρα αὐτοῦ τὴν παλλακὴν ὁ Μέντωρ, καθά φησι Φαβωρῖνος ἐν Παντοδαπῇ ἱστορίᾳ, μεταξὺ λέγων παρῴδησεν εἰς αὐτόν· πωλεῖταί τις δεῦρο

Eulogikon public reading copy · View original HTML at eulogikon.org

γέρων ἅλιος νημερτής, Μέντορι εἰδόμενος ἠμὲν δέμας ἠδὲ καὶ αὐδήν· τοῦτον σχολῆς τῆσδ' ἐκκεκηρῦχθαι λέγω. Καὶ ὃς ἀναστάς· οἱ μὲν ἐκήρυσσον, τοὶ δ' ἠγείροντο μαλ' ὦκα.

68 Diog L V 5—6 (de Aristotele) ὁ δ' οὖν Ἀριστοτέλης .... ὑπεξῆλθεν εἰς Χαλκίδα, Εὐρυμέδοντος αὐτὸν τοῦ ἱεροφάντου δίκην ἀσεβείας γραψαμένου, ἢ Δημοφίλου, ὥς φησι Φαβωρῖνος ἐν Παντοδαπῇ ἱστορίᾳ, ἐπειδήπερ τὸν ὕμνον ἐποίησεν εἰς τὸν προειρημένον Ἑρμίαν (fr. 675 Rose).

69 Diog. L. V 9 (de Aristotele) τοῦτον πρῶτον Φαβωρῖνος ἐν Παντοδαπῇ ἱστορίᾳ λόγον δικανικὸν ὑπὲρ ἑαυτοῦ συγγράψαι φησὶν ἐπ' αὐτῇ ταύτῃ τῇ δίκῃ καὶ λέγειν ὡς Ἀθήνησιν ὄγχνη ἐπ' ὄγχνῃ γηράσκει, σῦκον δ' ἐπὶ σύκῳ.

70 Diog. L. V 77 (de Demetrio Phalereo) Φαβωρῖνος δέ φησιν ἐν Παντοδαπῇ ἱστορίᾳ τοῦτο ποιῆσαι (sc. κατασπάσαι τὰς Δ. εἰκό-

70a νας) τοὺς Ἀθηναίους Δημητρίου κελεύσαντος τοῦ βασιλέως. ἀλλὰ καὶ τῷ ἔτει τῆς ἀρχῆς αὐτοῦ ἐπέγραψαν ἀνομίας, ὡς Φαβωρῖνος.

71 Diog. L. VI 25 (de Diogene) καί ποτε Πλάτωνα ἐν δείπνῳ πολυτελεῖ κατανοήσας ἐλάας ὀψώμενον, 'τί, φησίν, ὁ σοφὸς εἰς Σικελίαν πλεύσας τῶν τραπεζῶν τούτων χάριν, νῦν παρακειμένων οὐκ ἀπολαύεις;'. Καὶ ὅς· 'ἀλλὰ νὴ τοὺς θεούς, φησί, Διόγενες, κἀκεῖ τὰ πολλὰ πρὸς ἐλάας καὶ τὰ τοιαῦτα ἐγινόμην'. Ὁ δέ· 'τί οὖν ἔδει πλεῖν εἰς Συρακούσας; ἢ τότε ἡ Ἀττικὴ οὐκ ἔφερεν ἐλάας;' Φαβωρῖνος δέ φησιν ἐν Παντοδαπῇ ἱστορίᾳ Ἀρίστιππον εἰπεῖν τοῦτο. (I A 24 Giann.).

72 Diog. L. VI 73 (de Diogene) (.... εἴ γ' αὐτοῦ αἱ τραγῳδίαι καὶ μὴ Φιλίσκου τοῦ Αἰγινήτου, ἐκείνου γνωρίμου), ἢ Πασιφῶντος τοῦ Λουκιανοῦ, ὅν φησι Φαβωρῖνος ἐν Παντοδαπῇ ἱστορίᾳ μετὰ τὴν τελευτὴν αὐτοῦ συγγράψαι.

73 Diog. L. VIII 15 (de Pythagora) Μεταποντῖνοί γε μὴν τὴν μὲν οἰκίαν αὐτοῦ Δήμητρος ἱερὸν ἐκάλουν, τὸν στενωπὸν δὲ Μουσεῖον, ὥς φησι Φαβωρῖνος ἐν Παντοδαπαῖς ἱστορίαις.

74 Diog. L. VIII 83 (de Alemaeone) δοκεῖ δὲ πρῶτος φυσικὸν λόγον συγγεγραφέναι, καθά φησι Φαβωρῖνος ἐν Παντοδαπῇ ἱστορίᾳ, καὶ τὴν σελήνην καθόλου 〈τε τὰ ὑπὲρ〉 ταύτην ἔχειν ἀίδιον φύσιν.

75 Diog. L. IX 23 (de Parmenide) καὶ (λέγεται) πρῶτος ἐρωτῆσαι τὸν Ἀχιλλέα λόγον, ὡς Φαβωρῖνος ἐν Παντοδαπῇ ἱστορίᾳ. Diog. L. IX 29 (de Zenone Eleata) οὗτος καὶ τὸν Ἀχιλλέα πρῶτος λόγον ἠρώτησε—Φαβωρῖνος δέ φησι Παρμενίδην—καὶ ἄλλους συχνούς.

76 Diog. L. IX 34—35 (de Democrito) Φαβωρῖνος δέ φησιν ἐν Παντοδαπῇ ἱστορίᾳ λέγειν Δημόκριτον περὶ Ἀναξαγόρου ὡς οὐκ εἴησαν αὐτοῦ αἱ δόξαι αἵ τε περὶ ἡλίου καὶ σελήνης, ἀλλ' ἀρχαῖαι· τὸν δὲ ὑφῃρῆσθαι· διασύρειν τε αὐτοῦ τὰ περὶ τῆς διακοσμήσεως καὶ τοῦ νοῦ, ἐχθρῶς ἔχοντα πρὸς αὐτόν, ὅτι δὴ μὴ προσήκατο αὐτόν.

77 Diog. L. IX 50 (de Protagora) (διήκουσε δ' ὁ Πρωταγόρας Δημοκρίτου)—ἐκαλεῖτό [τε] Σοφία, ὥς φησι Φαβωρῖνος ἐν Παντοδαπῇ ἱστορίᾳ—καὶ πρῶτος ἔφη....

78 σητάνειος σῖτος

79 Ἄργιλος ἡ πρὸς τῷ Στρυμόνι ποταμῷ πόλις. ὠνομάσθη δὲ ἐπειδὴ ὑπὸ Θρᾳκῶν ὁ μῦς ἄργιλος καλεῖται, σκαπτόντων δὲ εἰς τὸ θεμελίους καταβαλέσθαι πρῶτος μῦς ὤφθη.

80 Steph. Byz. Αὐταριᾶται· ἔθνος Θεσπρωτικόν. Χάραξ ἐν ἑβδόμῃ Χρονικῶν (fr. 21 Jac. F Gr Hist II A, p. 48) καὶ Φαβωρῖνος ἐν Παντοδαπαῖς καὶ Ἐρατοσθένης.

81 Steph. Byz. Χελιδόνιοι· ἔθνος Ἰλλυρικόν· ... εἰσὶ καὶ Χελιδόνιαι πέτραι ... δύο δέ εἰσι κεκλημέναι ἡ μὲν Κορύδελα, ἡ δὲ Μελανίππεια, ὡς Φαβωρῖνος ἐν ταῖς Παντοδαπαῖς.

82

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Προσαγορεύουσι δὲ τὴν Ἔξω θάλατταν ἐκεῖ μὲν οἱ πολλοὶ τῶν βαρβάρων Ὠκεανόν, οἱ δὲ τὴν Ἀσίαν οἰκοῦντες Μεγάλην θάλατταν, οἱ δ' Ἕλληνες Ἀτλαντικὸν πέλαγος.

83 Steph. Byz. Αἰθίοψ· ... πρῶτοι καὶ θεοὺς ἐτίμησαν καὶ νόμοις ἐχρήσαντο. ὀνομάζουσι δὲ τοὺς αἰτίους τούτων Μίθραν καὶ Φλεγύαν, ἄνδρας Αἰθίοπας τὸ γένος, ὡς Φαβωρῖνος.

84 Steph. Byz. Ἀκτή· οὕτως ἡ Ἀττικὴ ἐκαλεῖτο ἀπὸ Ἀκταίου τινός. ἀνὴρ δὲ ἦν αὐτόχθων, ὡς Φαβωρῖνος, ὃς ἐβασίλευσεν ἐκεῖ καὶ ἀφ' ἑαυτοῦ οὕτως τὴν χώραν ὠνόμασε καὶ τοὺς λαούς.

85 Steph. Byz. Ἀραχωτοί· πόλις Ἰνδικῆς, ἀπὸ Ἀραχώτου ποταμοῦ ῥέοντος ἀπὸ τοῦ Καυκάσου, ὡς Φαβωρῖνος καὶ Στράβων ἑνδεκάτῃ.

86 Steph. Byz. Βισαλτία· πόλις καὶ χώρα Μακεδονίας, ἀπὸ Βισάλτου τοῦ Ἡλίου καὶ Γῆς. περὶ ταύτην οἱ λαγοὶ σχεδὸν πάντες ἁλίσκονται δύο ἥπατα ἔχοντες, ὡς Θεόπομπος ἱστορεῖ καὶ Φαβωρῖνος.

87 Βυζαντίων λιμὴν Βόσπορος καλεῖται.

88 Steph. Byz. Κρεμμυών· κώμη Κορίνθου· ... 'ἐν ᾗ μυθεύουσι τὰ περὶ τὴν Κρεμμυωνίαν ὗν, ἣν μητέρα τοῦ Καλυδωνίου κάπρου φασὶ καὶ τῶν Θησέως ἄθλων 〈ἕνα〉'. Φαβωρῖνος δὲ ὅτι τοῦ Ἐρυμανθίου καὶ τοῦ Καλυδωνίου μήτηρ ἦν.

89 Steph. Byz. Σφακτηρία· ... ἔστι καὶ νῆσος Σφακτηρία, ἧς μνημονεύει Παυσανίας ἐν τρίτῳ Περιηγήσεως Ἑλλάδος. ἐκαλεῖτο καὶ Σφαγία, ὡς Φαβωρῖνος.

90 Steph. Byz. Ῥοπεῖς· ἔθνος, οὗ μέμνηται Φαβωρῖνος 〈 〉 ἐν Ἐπιτομῇ δ' τῆς Παμφίλης.

91 Diog. L. III 37 (de Platone) τοῦτον μόνον (Aristotelem) παραμεῖναι Πλάτωνι Φαβωρῖνός πού φησιν ἀναγινώσκοντι τὸν Περὶ ψυχῆς, τοὺς δ' ἄλλους ἀναστῆναι πάντας.

92 Diog. L. V 41 (de Theophrasto) Φαβωρῖνος δέ φησι γηράσαντα αὐτὸν ἐν φορείῳ περιφέρεσθαι· καὶ τοῦτο λέγειν Ἕρμιππον, παρατιθέμενον ἱστορεῖν Ἀρκεσίλαον τὸν Πιταναῖον ἐν οἷς ἔφασκε πρὸς Λακύδην τὸν Κυρηναῖον.

93 Ἀρχύτας Ταραντῖνος τὰ ἄλλα καὶ μηχανικὸς ὢν ἐποίησεν περιστερὰν ξυλίνην πετομένην· ὁπότε καθίσειεν, οὐκέτι ἀνίστατο. μέχρι γὰρ τούτου ....

96 (t) 〈ΠΕΡΙ ΦΥΓΗΣ〉

96,1 Ἀνὴρ δὲ ἐν μεγαλοψυχίᾳ ἀληθινῇ καὶ φιλοσοφίᾳ τεθραμμένος πρὸ τῶν ξυμφορῶν τὴν εὐθυμίαν ἐν τῇ γνώμῃ ἀπόθετον ἔχει· τὸ δὲ ἐπὶ τοῖς δεινοῖς τῆς ἐξ ἑτέρου παρηγορίας χρῄζειν τὸν καιρὸν τῆς εὐθυμίας ὑπερβαίνει. [ad 7 ll.] οιμην κἂν τις ὑ[π]οπτεύ[σ]ῃ τ[ὴ]ν [ad 7 ll.] τοῦδε τοῦ λ[όγο]υ ὡς ἐπ' ἀλαζ[ο]νείᾳ [ad 7 ll.] περιας .. [ .. ] τινι ἀκαίρῳ ἐπὶ [ . ]ι [ad 7 ll. ξ]υγκειμ[ένου.] εἰ γὰρ αὐτὸς μὲν [ad. 5 ll. παρ]ακελεύ[ομα]ι, αὐτὸς δὲ ὁ πειθ[όμ]ε [νος ταῦτ]α δράσ[ω, ἐγὼ] οὕτως ἔχω ὡς φ[έρω] [ .... τὰ πα]ρόντα. [ἀλλ'] ὡς ἴσως τις καὶ π[ ... ] [ad 10 ll.]ελ[ .... ]αι βούλ[ε]ται, ὅδε ὁ λό[γος] [ad 16 ll.] ται ἡ γνώμη βεβαι [ad 21 ll.] ἡγοῦμαι ἐμαυ [τὸν ad 17 ll. ἐ]πιδεῖξαι ὅτι [ἄ]ν [ad 19 ll. τῷ λ]όγῳ ὁρμὴν [ad 20 ll. κα]ταφρονήσειε [ad 21 ll.] ἀμέλει τῷ λ[ό] [γῳ ad 19 ll.]θρασύτατοι ου [ad 20 ll.] μᾶλλον ἡ φρόνη [σις ad 18 ll.] ησιν, ἀλλὰ οὓς [ad 17 ll. τῇ ἀρ]ετῆς ἀσκήσει [ad 24 ll. τ]οιαύτης [ad 28 ll.] . [ . ] . [ . ] [ad 27 ll.] ενγ .. [ad 10 ll.] απ[ad 10 ll. ἄ]λλης αἰκί [ας ad 20 ll.] οὐκ ἐπὶ ταῖς [ad. 7 ll.] . α .. εφ .. στ[ ... Ἐμπε]δοκλῆς τε [καὶ Ἡρακλ]ῆς καὶ ὁ Ῥωμαίων στρατηγὸς [Μού] [κιος; Ἐμ]πεδοκλῆς μὲν γὰρ ἀρετῆς, Ἡρακλ[ῆς] [δὲ ἀθ]ανασίας, Μούκιος δὲ ἀνδρείας ἔ[νε] [κεν ἐπα]ινούμενοι.

96,2 Φυγῆς δ' ἂν καὶ ἕτεροι [δι' ἄλλας α]ἰτίας καταφρονήσαιεν, ἀλλ' ὁ [Σι] [νωπεὺς Διογέν]ης καὶ Κ[ρ]ά[τ]ης [ὁ Θηβ]α[ῖος καὶ] .. [ad 10 ll.] ιπ[πο]ς [κα]ὶ [ad 11 ll.] [ .... καὶ ὁ Τυ]ρρηνὸς Μουσώνιος κατεφρό[νη] σ[αν οὗτοι] δὴ μίσει τῶν πατρίδων οὐδὲ ἔχ[θρᾳ] [τῶν σφετ]έρων πολιτῶν, ἀλλὰ τὰ παρόντα πταίσματα πάντα ὡς ἀνθρώπινα ἀσπαζόμε[νο]ι. καὶ [ἵν]α μὴ πλέον διεξίω

παραβάλλων [ὁμ]οί ω[ν] παθημάτων ἀνομοίους τὰς αἰτίας, βραχεῖ μὲν λόγῳ μεγάλῳ δὲ ἔργῳ ἔστω διακεκρι μένον ᾧ τὸ εὔθυμον ἀπὸ τοῦ ἀκολάστου δια κέκριται. ὅστις δ' ἀρετῆς ἐφιέμενος ἐν τοῖς τοι ούτο[ις] εὐθυμεῖται, αὐτὸς μὲν ἱκανὸς προσ[δέ]ξας [θ]α[ι], εὐφυέστατος δὲ καὶ ἄλλῳ ξυμβουλεῦσαι οὐ λό γῳ μόνον, ἀλλὰ καὶ τῷ οἰκείῳ παραδείγματι προτρέπων, τοὺς μὲν λόγους τῶν ἔργων διδας κάλους ποιούμενος, τὰ δὲ ἔργα ἀκόλουθα τοῖς λόγοις παρεχόμενος. 2. ἀνακείσεται δὲ ἥδε ἡ γρα φὴ κτῆμα καὶ ἄλλῳ ποτὲ αὖθις, ὅστις ὁμοίᾳ τύχῃ περιπεσὼν οὐχ ἱκανὸς αὐτὸς αὑτῷ πο ρίζειν τὰ τοιαῦτα, τοῦ μή τινας ἴσα τῶν ἰδιωτῶν τοῖς ἀφρονεστάτοις τὰς τῶν πάλαι γενομένων || ἀνδρῶν ἢ [τῶν νῦ]ν ὄντ[ω]ν ξυμφορ[ὰς πα] [ρ]ηγορίαν τ[ῶν ἰδίων] κακῶν νομίζει[ν κ]αὶ τἀνθρώπεια [τοῖς ἀ]λλοτρίοις πταίσμ[ασι]ν [ἐ]πικουφίζ[ειν, ἀλ]λὰ τοὐναντίον ἐκ[εῖν]α ὁρῶντας ἐξ[ιδιάζεσ]θαι ἅπερ οἱ πάλαι ἀξιέ παινοι ἄν[δρες ὅμο]ια παθόντες διελ[έ]χθη σάν τε περὶ [τούτων κ]αὶ ἔδρασαν, καὶ [εἰ] μὲν Ἀλκιβιάδης [καὶ Θε]μιστοκλῆς καὶ ὁ [Κο]ριο λα[ν]ὸς ἐπὶ τῇ πα[τρί]δι ἀλγήσαντες τῇ πατρί δι [ἐ]πεβούλευον, [μήτ' ἐπιδ]έχεσθαι μήτε μι μεῖσθαι, μηδὲ ε[ἰ] ἄ[λλος] ἀνάνδρως ἢ πάλιν αὖ μανικῶς φυγὴν [ἢ] θάνατον ἤνεγκεν, ἐκεῖ να δὲ θαυμά[ζειν κ]αὶ παραμυθίαν οἴεσθαι ἃ Σωκράτης [ ...... ]ος ε[ἶ]πέν ποτε καὶ ἔδρα σεν ἐν τ[ῷ δεσμωτ]ηρίῳ. 3. ἐξὸν μὲν αὐτῷ δι ὰ [τῶν] φίλ[ων ..... ] . [ . ], τοῖς δὲ καταψηφισα μ[ένοις μέμψασθαι, οἰ]όμενος τὸν θεὸν ἄρ χ[ειν τῆς πόλεως μηδὲν δ' εἶναι] ἄδικον ὃ τῷ θεῷ φ[ίλον, οὐδὲν μὲν ἐκείνοι]ς ἀπεμέμψατο, ἐδή λωσ[ε δὲ οὐκ ἀποφυγών, ἀλλ' ἀπ]οθνῄσκω[ν εὐ] θύμ[ως ὅτι τῷ θεῷ πειστέον.

96,3 Ὁ δ' αὐτὸ]ς Σωκ[ρ]άτ[ης] αἰεὶ μ[ad 14 ll.] ἐνόμιζεν τοὺς μὲ[ν] τῶν τ[ραγῳδιῶν ὑποκρι]τὰς πείθεσθαι τῷ ποιη[τῇ διαπεμπομένους] ὅποι ἂν ἐκείνῳ φί λον ᾖ [καὶ ποτὲ μὲν Ἀγαμ]έμνονα βασιλεύον τα, π[οτὲ δὲ Τήλεφον π]τωχεύοντα καὶ Τυδέα φεύγοντα καὶ Φιλο κτήτ[ην χωλεύοντα ὑπ]οκρινομένους, ποτὲ δὲ τὸν [ad 14 ll.] 2. πρό[τερ]ον μὲν [ἦ]σαν [γ]οῦν ν[ad 10 ll., νῦν δ]ὲ τη . [ ... ]αστων .. νο . ει .. ν[ .. ]αι[ ...... ] .. καὶ τῷ [σ]χήματι καὶ τῇ φωνῇ πρὸς τὸ ξυμφέρον τῷ δράματι [τετρ]αμ μένοι καὶ οὐ καταπλαγέντες ὅτι ἄρτι [μὲν τοὺς] βασιλείους δόμους ᾤκουν Μυκηνῶν [καὶ τὸ] μὲν Πέλοπος σκῆπτρον ἐκ προγόνων διεδέχον το τὸ δὲ χρυσοῦν κῴδιον ἐκέκτηντο καὶ Πελο ποννήσου ἁπάσης ἐβασίλευον, ἐν δὲ τῷ αὐτῷ θεάτρῳ τῆς αὐτῆς ἡμέρας ῥάκι' ἀμπισχόμε νοι ἐπ' ἀλλοτρίαις θύραις πτωχεύουσιν, οὐδὲν φροντίζοντες ἄρα ὅτι ἦν Οἰδίπους τὸ πρῶτο[ν] εὐτυχὴς ἀνήρ, εἶτ' ἐγένετ' αὖθις ἀθλιώτατος βροτῶν. 2. ἐπίστανται γάρ, οἶμαι, ὅτι οὐδὲν τού των ἴδιόν ἐστιν αὐτῶν, οὔτε αἱ βασιλεῖαι οὔ τε ὁ πλοῦτος οὔτε οἱ Ἀλεοῦ 'τοῦ πολυχρύσου δόμ[οι]', οὔτε μὴν τὸ Ταντάλου ἢ Λαβδάκου γένος οὔτε ἡ πενία καὶ φυγή, ἀλλὰ τοῦ μύθου καὶ τοῦ ποιη τοῦ, αὐτοὺς δὲ ἀναγκαῖον ἄλλοτε ἄλλας τύχας ὑποκρίνασθαι, μέχρις ἂν τὸ δρᾶμα διεξέλθωσι. 3. ἡμεῖς δὲ ἀγανακτήσομεν ἐν τῷ τοῦ βίου δρά ματι πειθόμενοι τῷ ἅπαντος τοῦδε τοῦ κόσμου ποιητῇ θεῷ, ἐὰν ποτὲ μὲν ἄρχοντας ποτὲ δὲ φυγάδας, ποτὲ δὲ πλουσίους αὖθις δὲ πένη||[τας κελεύῃ ἡμᾶς ὑπο]κρίν[ασ]θαι; κα[ὶ ἐ]ν [μὲν ἀρχαῖς τε καὶ δ]υναστείαις ὄντες [οἱ ὑποκριταὶ λαμπροὶ] καὶ εὐδαίμονες εἶ ν[αι] ν[ομι]ο[ῦσιν] βέ[βαι]α τὰ παρόντα ἡγού μενο[ι], ἐν δ[ὲ δυσπραγία]ις καὶ φυγαῖς κακο δαίμονες [ὡς πάντων ἀ]πεστερημένοι, ἀλλ' οὐ σχήματο[ς μὲν σ]κευὴν καὶ προσω πεῖον μεταβεβ[λῆσθαι, ο]ἱ δὲ αὐτοὶ εἶναι ἔν δοθεν, ὥσπερ σω[μ]ά[τια], οὓς ἐξ ἐμβρύων καίσ[αρα]ς καὶ ἄρχ[οντ]ας ἀν[έστ]ησαν ἔν δοθεν, κατὰ τὰς ὑπ[ο]κρίσεις παντοῖα σχήμα τα μετ[α]βαλλόμενοι; 4. οὐδὲ γὰρ ἐν τοῖς ἀγῶσιν ἐπὶ τῆς σκηνῆς [οἱ τοὺς] Οἰνομάους καὶ Παν δίονα[ς] ὑποκ[ρι]νόμε[νο]ι ὄντως νικῶσιν, ἀλλὰ καὶ οἱ [πτωχοὺς καὶ] φυγάδας, ἐὰν ἄμ[ει]νο[ν τοὺς δυστυχοῦ]ντας ἢ ἐκεῖνοι τοὺ[ς εὐτυχοῦντας εἰσάγω]σ[ι]ν, ὥστε εἶ να[ι ad 10 ll. ἐπ]αινούμε [νοι ad 19 ll.]αι ἐκ τῶν [ .....

96,4 ad 19 ll.]εσθαι, ἐὰν[ad 9 ll. τὰς συ]μφερομ[ένας] δυς πρ[αγίας μὴ χαλεπώτερον ἢ] τὰς εὐπραγίας φέ ρῃ[ς, ἀποβλέπων εἰς τῶν] παλαιῶν ἀνδρῶν το[ὺς σοφ]ωτάτους ο[ὐκ] ἐλάττω δόξαν ἐκ τῶν συμφορῶν ἢ ἐκ [τῶν ε]ὐπραγιῶν περι [ποι]ησαμένους. 2. τοῦτ[ο μὲ]ν γὰρ Διογένης, οὐ μικρῷ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πρόσθεν ἐπεμνήσθην, οἴκοι μὲν οὐδὲ ἀργυρογν[ώμω]ν ἀγαθὸς ἐδόκει, φυγὰ[ς δὲ] [ἐν] τῇ νέᾳ [μονῇ τῶν] ἐν Σινώπῃ καὶ . [ ] [οὐ] μόνων, ἀλλὰ καὶ τῶν ἁπανταχοῦ γῆ[ς] [εὐ]κλεέστερος ἐγένετο ἐν πενίᾳ καὶ φυγῇ πάν[τω]ν [ἐνδεό]μενος· 3. τοῦτο δὲ Ἡρακλῆς οἴ κοι μὲν ἄνθρωπος καὶ Ἀμφιτρύωνος υἱὸς ἐνομίζετο, ἐπεὶ δὲ ἐ[λ]αυνόμενος ὑπ’ Εὐρυσθέως παντοίοις μὲν θηρίοις συνεπλέκετο παντοίοις δ’ ἀνθρώποις ὡμίλει τὰ δὲ ἔσχα τα τῷ σώματι ὑπέμενεν, τηνικαῦτα υἱὸς Διὸς ἐνομίσθη καὶ ἀθάνατον τὸ κλέος ἐκτή σατο. 4. ἀλλὰ μὴν καὶ Ὀδυσσεύς, ὑπὲρ οὗ καὶ Ὅμη ρος ὡς ἀνδρὸς σοφοῦ γενομένου τὸν ἥμ[ι]συν λόγον πεποίηται, τῆς μὲν Ἰθάκης καὶ Κε φαλλήνων καὶ τῶν πέριξ νήσων βασιλεύων καὶ τὴν Πηνελόπην ἔχων καὶ τὸν οἶκον ὁλό κληρον οὐδενὸς κρείττων τῶν νησιωτῶν ἐδόκει, ἀλλὰ καὶ δειλίας δόξαν ἐν τοῖς Ἀχαιοῖς ἔ λαβεν ὀκνῶν ἐπὶ Τροίαν αὐτοῖς ξυστρατεύ σασθαι· καὶ μὴν καὶ ἐν ταύτῃ τῇ παρατάξει οὐκ ἀγαθὸς τὰ πολέμια ἐνομίσθη, τότε δ’ οὖν ἀν εφάνη διαφέρων τὴν ἀρετὴν ἀνήρ, ὅτε ναυ αγίαις μὲν ἐχρῆτο, λιμῷ δὲ διεφθείρετο || [το]ὺς δ’ [ἑτ]αί[ρο]υς ἀ[πώ]λλυεν, ἐς λυπρὰ δὲ [κ]αὶ αἰ[σ]χρὰ [ῥά]κι[α κ]ατεκέκλιτο, καὶ τοῦ [τ]ο ὑπ[ε]λέ[λ]ε[ιπτο, μιᾶς γυναικὸς νόμωι [π]ειθ[ό]μεν[ο]ς. 5. τίς ἄρ’ οὕτως, εὐδρομού σης αὐτῷ τῆς νεώς, Φοῖνιξ ἢ Φαίαξ ἔμ πορος εὐρώστως γνώμης ἔχει ὡς Ὀδυς σεὺς ἐν τῷ ναυαγίῳ; τίς δὲ Συβαρίτης ἢ Ἴων ἢ Σικελιώτης ἀνὴρ παντοίων ὄψων αὐτῷ πληθούσης τῆς τραπέζης οὕτως εὐ θυ[μ]ε[ῖ]τ[αι] ὡς ἐκεῖνος ἐν τῷ λιμῷ; τίς δὲ φί λων πλήθει τε καὶ δυνάμει τοσοῦ τον ἴσχυσεν ὅσον ἐκεῖνος τοὺς ἑταίρους ἀπο βαλών; τίς δ’ ἐν ἀρχῇ καὶ δυναστείᾳ οὕτως τῶν ἐχθρῶν ἐκράτησεν ὡς ἐκεῖνος πτωχεύων ἐν τῇ αὑτοῦ οἰκίᾳ; ποῖός τις οὕτως ἀγαθὸς ἑτέρῳ ξύμβουλος ὡς ἐκεῖνος αὐτὸς αὑτῷ ἔν τε τοῖς ἄλλοις καὶ ἐν τού[τῳ·] „τέτλ[αθ]ι δή, κραδίη, φ[ησί, καὶ κύ]ντερο[ν ἄλλο ποτ’ ἔ]τλης“; ὅτι [ . ]λ[ ad 11 ll.] ψυ[ad 10 ll.]αυστωνα [ad 12 ll.]ρ[ad 10 ll. εφ]θάρη του … ου[ad 22 ll.]υτουτωι οἰκείω[ad 17 ll.]μι[γνυμ]ενος.

96,5 Ἐγὼ ν[ῦν ὑπεῖ]ξ[αι οὐ θέλω] ἢ ἀπ[ο]κά]μνειν μ’ ἐπ[οτρύνων ο]ὐκ ἐν [εὐπρα]γίαις μόνον οὐδὲ ἄ[λ]λαις, [ὥ]σπερ τινές, [τύχαις, ἀ]λλὰ καὶ ἐν τούτοις π[ο]λὺ μᾶλλον εἶνα[ι σοφὸς κα]ὶ ἐν[ε]πιδείξασθαι. 2. ὅπερ γὰρ τοῖς ἀθλη[ταῖς ἐσιο]ῦσιν εἰς τὸ στάδιον οἵ τε φίλοι καὶ ξυνήθεις τά τε ἄλλα ἐποτρύνον τες καὶ δὴ τοῦτο ἅμα ἐπιλέγουσιν, ὅτι ταῦτα [τὰ] ἐν Πίσῃ τὰ ἐπώνυμα τοῦ μεγάλου Διός, δι’ ἃ το σοῦτον μὲν πόνον τοσοῦτον δὲ χρόνον [τοσοῦ] [τον] δὲ ἱδρῶτα ἐξανάλωσαν, ὧν χρῆν ἀγω νίζεσθαι μεμνημένους μὴ μάτην σφίσιν ἀνηλωμένα ᾖ, τοῦτό μοι δοκῶ καὶ αὐτὸς πρὸς ἐμαυτὸν ἐν τῷ παρόντι ὥσπερ ἕτερος ἑτέ ρῳ παρακελεύσασθαί τε καὶ ὑπομνῆσαι, ὅτι αὗταί τοι πάρεισιν αἱ συμφοραὶ καὶ αἱ τῆς τύχης μεταβολαί, πρὸς ἃς ἐκ παίδων ἤσκεις τὴν σεαυ τοῦ ψυχὴν καὶ ἐπαιδοτρίβεις, τοῦτο μὲν πα λαιῶν ἔργων τε καὶ λόγων ἐς ἀρετὴν φερόν των μαθήσει, τοῦτο δὲ τῶν καθ’ ἡμᾶς ἀξίων λόγου ἀνδρῶν ξυνουσίᾳ, καὶ μὴν καὶ χώ ρας ἐπὶ πλεῖστον Ἑλλάδος τε καὶ βαρβάρου ἐφόδῳ, ὄψει τε καὶ ἀκοῇ καὶ μνήμῃ τῶν ἐν ἑκάστῃ καὶ ὑπὲρ ἑκάστης χώρας γενομένων, ἐς μίαν ταύτην μελέτην ἀρετῆς ξυντελούν των. 3. ἰδοὺ τοίνυν πάρεστιν ἡ κυρία προ θεσμία, οὐ “πεντήκοντα μηνῶν” κατὰ τὸν Πίνδαρον “ἁμέρα ἑκκαιδεκάτα”, Πέλοπος ἤ τινος Ἰδαίου Δακτύλου νόμῳ, πρὸς πάν||[τω]ν, οὐδ’ ἀνδρὸς ἀλλ’ []ὑπὸ θεο[ῦ] τε [κα]ὶ Χ[ρ]όν[ου· ἐ]ν [τῇ] δ’ ἐκεῖ διατεθει [μέ]νῃ ὥρᾳ μ[ό]ν[ο]ν [ἀπ]οδύντα διαγω νί[ζ]εσθαί σε δεῖ [μὴ ὑπ]οστελλόμενον, εἴ τ[ί] σοι· καὶ σ[ . ] . νουσι[ . ] τῇ τῶν πάλαι πό νων ὠφελίᾳ μεγάλ[αυ]χοι ἀνταγωνισταὶ καὶ πολλοὶ κ[αὶ γ]ν[ώ]ριμοι. καὶ οὐ χρὴ καταφρονεῖν α[ὐτ]ῶν, ἀλλὰ τοὐναντίον πειρᾶσθαι ὑπερβα[λ]έσθαι τῷ φρονή ματι, ὥσπερ ἀντὶ π[ασ]ῶν τῶν ἀνθρω πείων δοξῶν τε καὶ ἐπιθυμιῶν κ[α]ὶ [ .. ] μων καὶ ὁρμῶν καὶ ὀρέξεων, αἳ δὴ τάς τε ἄλλας ἁπάσας ξυντυχίας ἐπιφο[ρ] τίζουσι καὶ νῦν τὴν φυγὴν αὐτὴν χαλεπωτέραν ἐθέλουσιν ἀποδεικνύ ειν.

96,6 Οὐκ ἄκαι[ρον] δὲ ἐ[ν] τῷ [παρό]ντι κ[α] ταλέξαι τε [αὐτὰς] κα[ὶ οἷον] ὀνόμ[α] τι κ[α]τα[κηρύξαι]. πρ[ώτη μὲν] οὖν [ἡ] [ad 26 ll.] [ad 23 ll. δευ] [τ]έρα δέ ἐ[στιν ἡ ἰσχυρὰ τῶν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ξυγγε-] νῶν τε κα[ὶ φίλων στοργὴ καὶ] ξύν[τρο] φος ξυνουσ[ία· τ]ρίτη [δ' ἂν εἴη] τάχα [ἡ] τοῖς πλ[είοσιν] οὐκ [ἐατέα εἶ]ναι δο κοῦ[σ]α π[λούτ]ου τε κ[αὶ οἴκο]υ καὶ ο[ἰ]κεί ας κτήσε[ως] ἀπόλαυ[σις· σὺν δὲ] ταύτ[η]ι, ἧς πολλοὶ μὲν κατ[αφρονεῖν] προσπ[ο]ι οῦνται, ἐρῶσιν δὲ ἔ[ργῳ, ἡ τι]μῶν τε καὶ δόξης ἐπιχωρί[ου ὄρεξις] κα[ὶ] ταύ της ξύντροφος ἡ ἀ[δοξίας] καὶ δυσφη μίας δημοποιήτου [ἀ]πο[στ]ροφή· ἐπὶ δὲ ἁπάσαις ὥσπερ ἐφεδρεύουσα μεγίς τη τε καὶ [ἡ]δίστ[η ἀ]δείας τε καὶ αὐτε ξουσίου νομῆς π[ερι]πό[θ]ητος ἐλευθε ρία. 2. αὗται γὰρ ἅπασαι πρὸς μίαν τὴν τοῦ παθόντος ψυχὴν ἀνθιστάμεναι ταπεινοῦν ἐθέλουσιν καὶ καταβάλλειν αὐτὴν καὶ ὑποσκελίζειν, ἀνίας τινὶ ξυνάγχῃ δέουσαι καθ' ἑκάστην τε καὶ ξύμ πασαι διαλαμβάνουσαι· οὐ γὰρ ἐθέλουσιν ἀγώνων νόμῳ πρὸς ἀλλήλας διαλαγ χάνειν, ἀλλὰ κατὰ μιᾶς ψυχῆς ξυνις τάμεναι ἐπιβουλεύουσιν. 3. καὶ ὁ πολὺς ὄχλος οὗτος τῶν θεατῶν αὐταῖς συλλαμ βάνει, ἄνωθεν ἐπικροτῶν τε καὶ παρα κελεύων, ἅτε δὴ ξυντρόφοις τισὶν καὶ ξυνήθεσιν οὔσαις. ἀλλ' οὐδέν τι χρὴ ταῖς ἐκείνων σπουδαῖς τε καὶ θορύβοις κατα πλαγέντα ὑπεῖξαι· οὐ γὰρ ἐπὶ σκηνῆς οὐδ' ἐν Διονύσου ὁ ἀγών, ἔνθα ὁ πλείστους || [δυνάμεν]ος κλαίοντας ἢ [γελ]ῶντας ἀπο [δεῖξαι] τῇ ἐκείνων σπουδῇ ἐπιβατεύ [ω]ν [εἰ]ς [τ]ὴν νίκην ἔρχεται, ἀλλ' ἐν Ἥρα κλέ[ο]υς, [ἐ]ν τῷ τῆ[ς] ἀρετῆς σταδίῳ· ἔργων οὐ λόγων ὁ ἀγών. 4. κ[ρ]ότου δὲ καὶ συριγμοῦ καὶ ἐπαίνων καὶ σκωμμάτων καὶ τοιού του τινὸς παντοίου θροῦ καταφρονήσαν τα ἐφ' ἑαυτῷ μόνῳ χρὴ τὰς ἐλπίδας ἔχον τα γυμνῇ τῇ ψυχῇ ὑφ' ἡλίῳ λαμπρῷ καὶ κόνει αὐχμηρᾷ ἐγκαρτερῆσαι. μεγάλα γὰρ τὰ ἆθλα πρόκειται εὐδαιμονίας, εἰ μηδὲ ἐπὶ τούτοις ἀνιασόμεθα.

96,7 Καὶ πρώτην τοι καλῶ τὴν τῆς πατρίδος ἐπιθυμίαν· αὕτη γὰρ εὖ οἶδα ὅτι ἡμῖν καλλωπιεῖται πολλοῖς καὶ εὐπρεπεστάτοις σχήμασιν προβαλλο μένη πατρῷόν τε ἔδαφος καὶ γῆ[ν, ἵ]ν' οἱ πρόγονοι ἡμῶν ἐξέτι πα[λ]αιτ[άτο]υ νο μῶι ἐπεχέαντ[ο κα]ὶ οἰκεῖ[οι κατασ]τάν τες τέ[λος ἐγ]χ[ώριοι ἐγ]ένοντ[ο, καὶ βωμοὺς] θεῶ[ν γυμνάσια θ' ο]ἷσιν ἐν[ετράφην] Δίρκ[ης θ' ὕδω]ρ, [ὧν οὐ δικαίως ἀπελα] θεὶς ξ[έ]νην π[όλιν ναίω, δι' ὄσσων νᾶμ'] ἔχων δακρύρ[ροον]. τ[αῦτα ὁ τοῦ] Εὐ ριπίδου Πολ[υνείκ]ης λέγ[ε]ι [πρὸς] μη τέρα. 2. ἀλλά, ὦ Π[ολύ]νεικες, πρό[ς σέ τ]οι ἤδη ποιήσομαι τοὺς λόγους· [ᾧ τ]ὴν πατρίδα τὴν ἑαυτοῦ φιλεῖ[ν παρ]έχει καὶ οἰκ[εῖν] ἀλύπως, μένε[ιν χρὴ] καὶ ἐπαμύν[ει]ν αὐτῇ καὶ μήποτ[' ἑκ]όν τα ἐκλιπεῖν· ἀπελασθέντα δὲ [καὶ] διω χθέντα, ὥσπερ ὁ σὸς πολίτης Πίνδα ρός φησιν, “ἐν δίκᾳ τε καὶ παρὰ δίκαν”, μήτε κλαίειν ἐν τοῖς τῆς μητρὸς κόλ ποις ὥσπερ τὰ παιδία, μηδ' οὖν λάθρα φοβούμενον ἐντὸς τειχῶν παρεῖναι “ὥστε ξιφήρη χεῖρα ἔχειν δι' ἄστεως”, μηδὲ μὴν στρατιᾷ ἐλάσαι ἐπὶ τὴν πατρίδα, ἣν αὐτὸς φῂς φιλτάτην εἶναι βροτοῖς, μηδὲ τῷ ἀδελφῷ μονομα χεῖν βωμῶν τε ἕνεκα καὶ ὕδατος καὶ γυμνασίων, ἀλλὰ καρτερεῖν τῇ ἀνάγκῃ καὶ ἀσπάσασθαι τὰ παρόντα. 3. καὶ γὰρ ἐν Ἄργει βωμοὶ θεῶν καί, ὃ τῶν βωμῶν ἱε ρωτατόν ἐστιν, οἱ θεοὶ αὐτοὶ καὶ ἡ τῶν θεῶν φύσις καὶ πρόνοια καὶ ὁ αὐτὸς Ἀργεί οις Ἡρακλῆς πατρῷος· καλὰ δὲ καὶ τὰ ἐκεῖ γυμνάσια, καὶ τὸ Λέρνης ὕδωρ, ἐὰν μὲν ὡς ἐλεύθερος πίνῃς, οὐδέν σοι φανεῖται τοῦ ἐν Θήβαις καταδεέστερον, ἐὰν δὲ λυ πούμενος πίνῃς, πικρόν σοι φανεῖται, || ὥσπερ [οὐδέ σοι] φυγόντ[ι ἱ]κανὸ[ν τ]ὸ Χοάσπου σοι ἀκολουθ[οῦν· εἰ] γάρ τι κ[αὶ] “πολυδ[ί]ψιον” τὸ Ἄργος εἴρηται, [πῶς δή]που ἅπασιν μὲν Ἀργείοις εἰς τὸ νῦν διψ[ῶσιν ἤρ]κει πι[εῖ]ν, ἑνὶ δὲ Θηβαίῳ φυγά δι οὐκ ἀρκ[εῖ;

96,8 Κ]αθόλου δὲ περὶ μὲν θεῶν οὕτω χρὴ διανοεῖσθαι, ὡς ἀνδρὶ μὲν πονηρῷ καὶ ἀ δίκῳ οὐδαμ[οῦ] ὑπακουσομένων, ἐάν τε ἐν τῇ πατρίδι αὐτοῖς εὔχηται ἐάν τε, ὡς ἀνυστόν, ἐγ γυτάτω πέλας τοῦ οὐρανοῦ, ἢ [ἐ]ὰν ἐν Τροίᾳ, ἔν θα μάλιστα, ὡς Ὅμηρος λέγει, θεοὶ ἀνθρώποις ὡμίλησαν· καὶ γὰρ ἐκεῖ ἡ μ[ὲν] Ἀθηνᾶ τὸν μὲν Αἴαντα ἀπεστράφη, ταῖς δὲ Τρῳάσιν εὐχο μέναις “ἀνένευσε δὲ Παλλὰς Ἀθήνη” λέ γει Ὅμηρος, λέγει δὲ καὶ ἐφ' ἑτέρου „λίπε[ν δέ ἑ] Φοῖβος Ἀπόλλων“· τὸν δὲ Σάμιον Πολυ κράτην ἡ Τύχη π[ρο]ὔ[δω]κεν· 2. ἀνδ[ρὶ δ' ἀ]γαθῷ καὶ ὁσίῳ [τοὺς θεοὺς ἀπ]ανταχοῦ [ὑπακουσομέ] νους ἐά[ν τ' ἐν .... · Ἀθ]ηναίων Ἀρ[είῳ πάγῳ] αὐτοὺς καλῇ ὅπου [Ἀπόλ]λω[ν Ὀρέστῃ διε] λέγετο, ἐάν τε ἐν[ ...... ] καλ[ῇ ὅπου Παλ]λὰς Ὀδυσσεῖ διελέγετο, ἐὰν

τε ἐν τ[ῷ Σκοπαδῶ]ν συμποσίῳ ὡς [Σιμω]νίδης ὁ π[οιητής, ἐ]άν τε ἐξ Ἄιδου ὅπου Πρωτεσιλάου κα[λέσαντ]ος τοὺς οὐρανίου[ς] ὑπακοῦσαι λέγο[υσιν ἢ ἐ]ὰν ἐν θαλάσσῃ εὔξηται, τοῦτ[ο] δὴ το[ῦ λόγ]ου, ἐπὶ ῥιπὸς π[λέ]ων, ὥσπερ Ὀδυσσεὺς ἐπὶ τῆς σχεδίας ἢ Ἀρίων ὁ Μηθυμναῖος ἐπὶ δελφῖνος ὀχούμενος. 3. καὶ Ἀρίονα μ[ὲ]ν ἰχ[θὺς] εἷς ἔ σωσεν, τῷ δέ γε Αἴαντι οὐδ' ἡ πέτρα ἀσφα λὲς ὄχημα ἦν. εἰ γὰρ Ἀθηνᾶν μὲν Ἀθηναί οις μόνοις, Ἥραν δὲ Ἀργείοις μόνοις, τὸν δὲ Δία Ἠλείο 〈ι〉 ς, καὶ ἄλλον ἄλλῃ πόλει θεῶν συγ χωρήσομεν, "πολλαί κεν πόλιες" κατὰ τὸν Ὅμηρον "δευοίατο", οὐκ οἰνοχόου, ἀλλὰ θεοῦ. ὅπου δὲ οὐδὲ συμπόσιον ἄνευ οἰνοχόου οἷόν τε διοικηθῆναι, ἦ πού γε πόλις καὶ χώρα καὶ ἔ θνος ἅπαν δύναιντ' ἂν ἄνευ θεοῦ περιγενέσ θαι; ὅπερ μοι δοκεῖ καὶ ὁ Ἄμμων δηλῶσαι μά λιστα, ὃς Ἀφυταίοις ἀπὸ Θρᾴκης χρωμένοις πο τὲ ἀνεῖλεν μηκέτι πέμπειν εἰς Λιβύην ἐπε ρωτήσοντας αὐτόν, ἀλλ' ἐκεῖ ἐ[ν] τῇ Θρᾴκῃ πυν θάνεσθαι ὡς κἀκεῖ ὑπακουσομένου, καὶ ὑπήκου εν. φοιτᾷ γὰρ ἐπ' οἶδμά τε πό[ντο]υ γᾶν τε καὶ λει μῶνας εὐφύλλους δι' ἀπείρατ[ο]ν οιον ὕδωρ Ζεὺς ὁ πάντ' ἐποπτεύων.

96,9 Περὶ δὲ τῶν τε||θνεώτω[ν εἰ] μὲν ὡς οὐκ ὄντων τις διανοεῖται, [ἀκόλου]θον αὐτῷ μηδαμοῦ αὐτοὺς εἶναι νο[μίζει]ν· εἰ δὲ Πλάτωνός τε καὶ Ὁμήρου [λόγοις] π[ε]ι[θό]μενος ἀθανάτους εἶναι τὰς [ψυχὰς] ἡγεῖται, ἄξιον αὐτῷ καὶ ἐνταῦθα Ὁμ[ήρ]ῳ πιστεύειν, [ὃς] τῷ Ὀδυσσεῖ ἐν Κιμμερίοις τὸν βόθρον ὀρύξαντι, καὶ τοῦτον οὐ βαθύν, καὶ τὰ πρόβατα καταθύσαντί φη σιν ἅπαντας τοὺς νεκροὺς αὐτόθι ὑπακοῦσαι, ὡς παρ' ἐκείνῳ τῷ βόθρῳ κατορωρυγμένους, καὶ τὴν μητέρα τὴν ἐν Ἰθάκῃ ἀποθανοῦ σαν καὶ Ἀχιλλέα τὸν ἐν Τροίᾳ τεθαμμένον Ἐλπήνορά τε τὸν οὐδέπω ταφέντα καὶ Αἴ αντα οὔτε γνώμῃ οὔτε γένει προσήκον τα, προσέτ[ι δὲ Τυρὼ τ]ὴν Σαλμωνέως καὶ Χλῶρι[ν τὴν Ἀμφίονος], καὶ ἄλλας πολλὰς γ[υναῖ] κας, ἃς οὐδ' [ἐπιστάμεθα οὔ]τε ὅπου οὔτε [ὅπως] ἀπέθανον. 2. [οὐ μὴν ἀλλὰ τὸ μ]ὲν οἴκοι ταφ[ῆναι] περὶ πολλοῦ [ἐποιήσ]αντο [ο]ἱ Ἀθηνα[ῖοι· τε]κμαίρομαι [δ' ἐκ τοῦ] τε πολυανδρείο[υ καὶ ὅ] τι Θησέα ζῶντ[α ἐκ τῆς π]ατρίδος ἐξελάσαν τες τετρακοσίοις ὕστερον ἔτεσιν νεκρὸν ἐκ Σκύρου κατήγαγον, καὶ τὰς μὲν [ἐν Δήλῳ] αὖ ταφὰς ἐκ[άθαιρ]ον, ὡς οὐχ ὅσιον οὔ[τε τὸ ἐν] θάπτειν οὔ[τε τὸ ἐ]ναποθνῄσκειν τῇ [νή] [σ]ῳ· [α]ὐτοὶ δὲ Κέκροπα μὲν ἐν ἀκροπόλει ἔθαπτον, τὰς δὲ Ἐρεχθέως θυγατέρα 〈σ〉 παρ' αὐτῇ σχεδὸν τῇ Πολιάδι. 3. ἐγὼ δὲ καὶ τοῦ Αἰγυπτί ου ὄρνιθος τοῦ φοίνικος καταγελῶ, ὃς πολ λαῖς γενεαῖς τῆς πατρίδος ἀποδημήσας μιᾶς ἕνεκα ἡμέρας ἐπάνεισιν ἐν Αἰγύπτῳ ἀποθανεῖν, ὥ[σπε]ρ τῆς ἄλλης ἁπάσης γῆς οὐχ ἱκανῆς οὔσης ἑνὶ ὄρνιθι ἐνταφῆναι· Ἐγκελάδῳ δὲ καὶ Τυφῶνι βραχὺ μέ ρος Σικελίας ἐ[ξή]ρκεσεν.

96,10 Τὴν δὲ πατρίδα φιλῶ μὲν [καὶ αὐ]τὸς οὐδενὸς δεύτερος καὶ ἑκὼν αὐτῆς οὐκ ἄν ποτε ἀπελείφθην· λο γιζόμενος δὲ εὑρίσκω οὐδὲν ἕτερον οὖ σαν ἢ ἐν ᾗ οἱ πρόγονοι ἡμῶν κατῴκη σαν ἢ διέτριψαν. ὅτι γὰρ οὐκ ἐν ᾗ αὐτοὶ ἐγενόμεθα, δῆλον ἐκ τούτου· πολλοὶ γὰρ ἑτέρωθι γεννηθέντες ἑτέραν πατρίδα νομίζουσιν. 2. εἰ δὲ τοῦτό ἐστιν πατρίς, τὸ σύνηθες τοῖς προγόνοις χωρίον, τί δὴ οὐχὶ τῇ αὐτῇ γνώμῃ καὶ ταύτην φιλη τέον, ἐν [ᾗ] τὰ νῦν διατρίβομεν; πο||λὺ γὰρ ἑκά[στῳ ἐγγυτέ]ρω ἐν ᾗ αὐτός τις οἰκεῖ ἓν ᾗ οἱ πρόγονοι αὐτοῦ ᾤκ[ησαν, τοῖς δ]ὲ ἐξ ἐμοῦ γενησομένοις ἡ αὐτὴ αἰτία καὶ πολὺ δικα[ιοτέρα τὴν] ἐμὴν ἀναγκαίαν ἐνδιαίτησιν πατρίδα ποιεῖν . [ .. ] . αδ[8 ll.]ς ὑπεδέξατο φεύγοντα. τοῦτο ὁ Λέσβι ος Ἀλκαῖος λέγει, ἀ[νὴρ πε]ρί [γ]ε τὴν πατρίδα φιλοστοργότατος. 3. καί τοι αἰεὶ ἐς [τ]οὺς ἀρχα[ίους τὸ] αὑτοῦ γένος ἀναφέρων καὶ ὅλης τῆς πα τρίδος τῆς ἑαυτοῦ [ἢ ἀπο]ικήσαντας [ἐπ'] ἄλλης γῆς ἂν εὕροις, ὡς Αἰ γινήτας ἐς Θυραία[ν, ἢ ἐσ]οικισθέντας ἑτέρωθεν, ὥσπερ Ἴωνάς τε καὶ Αἰολέας καὶ τὸ Δώριον ἅπαν, τοὺς δὲ καὶ φυγῇ τῆς οἰκείας ἐξελας θέντας, Ἕλληνάς [τε ε]ἰς βαρβάρων, ὥσπερ Ἀργείους ἐν Ἀμφιλόχοις καὶ Ἀρκάδας τοὺς ξὺν Δαρδάνῳ ἐς Φρυγίαν καὶ Ἐρετριεῖς τοὺς ἐξ Εὐβοίας ἐν Σούσοις τοῖς Περσικοῖς, βαρβάρους τε ἐς Ἑλλήνων, οἷα δὴ Θρᾷκας τοὺς μετ' Εὐμόλπου ἐν τῇ Ἀττικῇ Φοίνικάς τε καὶ Ἄραβας τοὺς σὺν Κάδμῳ ἐν Θήβαις ταῖς Βοιωτίαις. ὥστ' ἐὰν [τὰ] τοιαῦτα εἰς τὸ παλαίτατον ἀρχαιολογῇς, ἅπαντας ἁπαντα[χο]ῦ ξένους τε καὶ φυ γάδας

Eulogikon public reading copy · View original HTML at eulogikon.org

εὑρήσε[ι]ς· [αἰτία γάρ π]ου, ἣ μεγίστη δήπ[οτ' ἔκ]τιζεν τὰς πόλεις, ἐγένετο ἡ τη[νικαῦτα στά]σις τε καὶ ἔ[ρ]ις. 4. ε[ἰ] δέ [τι]νες ὀλίγοι αὐ τόχθονες εἶν[αι ἡγούμε]νοι ἐπὶ τούτῳ μ[έγα φρον]οῦσιν, οὗτοι ὄν τ[ω]ς ἀλαζον[εύονται· ἦ]ν γάρ τοι καὶ μυῶν καὶ ἄ[λλων ε]ὐτελεστέ ρ[ων] ζῴων [χθονογέ]νεια, ἀνθρώπῳ δὲ ὄντι οὐ καλὸν μὴ ἐξ ἀνθρώπο[υ γενέσθαι]. εἰ δ' αὖ διὰ τοῦτο πρὸς τὴν γῆν οἰκειότε ρον ἑτέρων [ἁπά]ντ[ων ὁμο]ιοῦνται, ἀλλ' οὐχ ὥσπερ ἐκ τρυμαλιᾶς ἐξαναδύντα χρὴ [ .... ἐκ]εῖνο τὸ καθ' αὑτὸν μέρος μόνον περι έπειν, ἀλλὰ πᾶσαν τὴν γῆν οἰκεῖν ὡς πάντων μητέρα καὶ τροφὸν τὴν αὐτὴν οὖσαν.

96,11 "Ἓν φῦλ[ο]ν ἀνθρ[ώπ]ων, μί' ἔδειξε πατρὸς καὶ ματρὸς ἡμᾶς ἁμέρα". "εἷς μοῦν[ος] ἀνθρώποις θε ὸς [εἴσα]το κοιν[ὰν] ἁλίο[υ] μοῖραν φυλάττων τάνδε" ἐν ᾗ ἄν τις τραφῇ γλῶσσαν παραλλά[ξ]αι. 2. καὶ γάρ τοι ὁ θεὸς μίαν μὲν τοῖς νηκτοῖς πατρίδα ἀπέδειξε τὴν θάλατταν, ἕνα δὲ τοῖς πτηνοῖς τὸν οὐρανόν, τοῖς δὲ ἃ χερσαίαν φύσιν ἔχει τὴν γῆν, ἀσφαλὲς ὄχημα ὑποθεὶς οὐρανῷ τε ὀροφώσας καὶ ὠκεανῷ τειχίσας, [ἀπ]ένειμεν. 3. οἱ μὲν οὖν ὄρνεις καὶ ἰχθύ ες φυλάττουσι τὴν παρὰ τοῦ Διὸς παραδοθεῖσαν κληρουχίαν, καὶ τὰ ἄλλα δὲ τὰ χερσαῖα ἅπαντα ζῷα· ἄνθρω ποι δὲ ὑπὸ πλεονεξίας τὴν γῆν διανέμονται, κατακερμα τίζοντες τὴν τοῦ θεοῦ δωρεὰν καὶ διορίζοντες πρὸς ἀλλή λους, πρὸς μὲν Ἀσίαν τε καὶ Εὐρώπην καὶ Λιβύην ποταμοῖς, πρὸς δὲ τοὺς πλησιοχώρους ὅροις, πρὸς δὲ τοὺς ἐμφυλίους τεί χεσιν, πρός γε μὴν τοὺς ὁμοπατρίους οἰκίαις, πρὸς δὲ τοὺς ξυν οίκους θύραις, ἤδη δὲ καὶ τοὺς ὁμωροφίους λάρναξίν τε καὶ κι βωτίοις διακρίνουσιν. 4. ἐξ ὧν οἵ τε πόλεμοι καὶ πολιορκίαι καὶ "κατασκαφαὶ δόμων" καὶ δῃώσεις, ὡς ἐπ' ἀλλοτρίαν τὴν γεί τονα γῆν στρατευομένων, πολλάκις δὲ καὶ ἐν τῇ αὐτῇ χώρᾳ, τῶν μὲν Ἐρεχθεῖ τῶν δὲ Εὐμόλπῳ ξυστρατευσαμέν[ων], ἐστὶν δ' ὅτε καὶ εἰς τρία διῃρημένων καὶ τῶν παράλων Μεγακλεῖ τῷ Ἀλκμαίωνος, τῶν δὲ ἐκ τοῦ πεδίου Λυκούργῳ || τῷ Ἀριστολαΐδου, τῶν δὲ ὑπερακρίων Πει σιστράτῳ τῷ Ἱππίου ἑπομένων· 5. καὶ μὴν καὶ τῶν ἐν τῇ αὐτῇ πόλει στάσεις, τῶν μὲν ἐξ ἄστεως τῶν δὲ ἀπὸ Φυλῆς μαχομένων, ἄλ λα τε ὅσα τὸ Ἰωνικὸν ἅπαν καὶ Δώριον καὶ Πε λασγικὸν γένος καὶ πολλὰ ἄλλα ἔθνη Ἑλλήνων τε καὶ βαρβάρων διώκισάν τε καὶ ξυνέχεαν, Ἐτεοκλέους τε πρὸς Πολυνείκην διαφοραὶ καὶ τῶν Ἡρακλέους παίδων καὶ νὴ Δία γε ἑτέ ρων ἀδελφῶν οὐ τυραννίδα ἀλλὰ μίαν οἰκίαν διανεμομένων.

96,12 Αἱ δὲ γέρανοι ἡμῶν μεγαλοφρονέστεραι· ἐκ γὰρ Θρᾳκῶν εἰς Αἴγυπτον ἀπιοῦσαι οὔτε Θρᾴκην ἡγοῦν ται πατρίδα οὔτε Αἴγυπτον φυγήν, πρὸς δὲ τόπον ἀλληλίσματα σφίσιν εἶναι ταῦτα, χειμῶνός τε καὶ θέρους ἐνδιαιτήματα. τὸ δὲ τῶν Πυγμαίων ποιητικὸς ἄρα μῦθος ἦν. ἀλλὰ γὰρ κἀκείνας ὁ χειμὼν ἐκ Θρᾴκης ἐλαύ νει, ὥσπερ ἡμᾶς ἡ τύχη ἄλλον ἀλλαχόθεν. ὄρνις δὲ οὔτε Πυγμαίοις οὔτε ἄλλῳ ὄρνι θι ὑπὲρ μέρους ἀέρος διαφέρεται, οὐδὲ μὴν ἰχθὺς ἰχθύι αἰγιαλοῦ ἕνεκα ἢ πέτρας ἐπι βουλεύει, ἀλλ' ἔνθα ἂν διατρίβῃ τῆς θαλάτ της, ἐν τῇ αὑτοῦ πατρίδι διοικεῖν οἴεται. 2. ἀλλὰ μὴν καὶ ἀνθρώπων, οἳ τοιοῦτον ἐμιμήσαν το, τὴν ἀρετὴν οὐκ ἀφαιρήσομαι. Ἀθηναῖοι μέν γε οὐ τὴν Ἀττικὴν μόνον, ἀλλὰ καὶ τὴν γῆν ἐκλιπόντες εἰς τὰς ναῦς ἐνέβησαν τὴν ἐλευθερίαν τῶν τειχῶν καὶ λίθων προ τιμήσαντες, ἐκεῖ δὲ ἡγούμενοι σφίσιν εἶ ναι τὰ πάντα ἔνθα ἂν μετὰ ἀρετῆς καλῶς ἀγωνίζωνται. 3. Φωκαιῆς δὲ τῇ οἰκουμένῃ οὐκ ἀρεσκόμενοι μύδρους καθέντες εἰς τὴν θάλατταν ὤμοσαν μὴ πρότερον οἴκαδε ἐπανελεύσεσθαι ἢ τοὺς μύδρους ἀναπλεῦ σαι· καὶ νῦν ἔτι Φωκαιῆς Μασσαλίαν οἰκοῦ σιν πόρρω τῆς ἑαυτῶν πρὸς τῷ Τυρρη νικῷ πελάγει ᾠκισμένοι. 4. Ἀμαζόνες δὲ Ἄ ρεως θυγατέρες ἐνομίσθησαν, ὅτι Θερμώ δοντα ποταμὸν ἐκλιποῦσαι ἐπὶ πᾶσαν γῆν ἐπ' οἰκίαν ᾖεσαν· εἶτα Ἀμαζόνες μὲν γυ ναῖκες οὖσαι καὶ Σκύθαι καὶ Σαυρομάται λῃστείας καὶ ἁρπαγῆς ἕνεκεν μίαν πόλιν οὐ ποθοῦσιν, ἡμᾶς δὲ τοῦ μὴ κακοδαιμό νως ζῆν χάριν μηδὲ ὀδυρομένως οὐκ ἄξιον, οὐ μὰ Δία μισῆσαι τὴν πατρίδα (τοῦτο γὰρ οὐδὲ εἰπεῖν ὅσιον), ἀλλὰ μὴ ἀκαίρως πο θοῦντας ἀνοήτους ἀχθηδόνας τῇ ψυχῇ ἐπιφέρειν, τὴν δὲ τῆς πατρίδος μνήμην χαρᾶς μᾶλλον ἢ λύπης αἰτίαν ποιεῖσθαι;

Eulogikon public reading copy · View original HTML at eulogikon.org

96,13 Εἰ σὶν δὲ οἳ οὐ φυγὴν μόνην, ἀλλὰ ἀποδημίαν τὸ ἔσχατον κακῶν ἡγούμενοι ὑπὸ φιλοχωρί||ας αὐτοὶ σφᾶς αὐτοὺς ἐς τὰς πατρίδας τῇ γνώμῃ φυγαδεύουσιν ἑκόντες οὐ κατὰ ἀνάγχην προστιθέμενοι. “μῶρος δ’ ὅστις ἀνθρώπων πόλιν” ᾗ ἂν ἐμμένῃ “θεὸν κείναν σεβίζειν μοῦνον ἐλπίζει καλοῖς. εἰσὶν γάρ, εἰσὶν ἀξιοπάμονες ἄλλαι, καὶ μέλονται πρός τινος, ἢ Διὸς ἢ γλαυκᾶς Ἀθάνας.” 2. ἐμοὶ δέ, ᾧ καὶ πρὸ τῆς ἀναγκαίας φυγῆς τὸ πλεῖστον τοῦ βίου ἀνὰ πολλὰ μέρη γῆς τε καὶ θαλάσσης ἀνδρῶν τε ἀλλοθρόων ἐκδή μοις ἐπιμειξίαις ἀνάλωται, ἔργον δέ μοι οὐ φίλον ἦεν οὐδ’ οἰκωφελίη, ἥ τε τρέφει ἀγλαὰ τέκνα, ἀλλά μοι αἰεὶ νῆες ἐπήρε τμοι φίλαι ἦσαν καὶ πόλεμοι καὶ ἄκον τες ἐύξεστοι καὶ ὀιστοί, οὐ καιρὸς ὀδύ ρεσθαι τὴν παροῦσαν ἀποδημίαν, ὡς [ὑπ]ερά[ν]ω τοῦ τῆς πατρίδος π[όθ]ου τυγχά [νο]ντ[ι], ὡς οἶδά γ’ αὐτὸς ὡς ἐπαιδεύθην ξένος, [ὥ]σπερ ὁ τοῦ Σοφοκλέους Θησεύς, [χὥς τις π]λεῖστ’ ἀνὴρ ἐπὶ ξ[έ]νη[ς] ἤθλη [σα κινδυ]νεύμ[α]τ’ 〈ἐν〉 τὠμῷ κάρᾳ. 3. ἢ τότε [μὲν κ]αὶ γονέων μοι ζώντων, ἔτι [δὲ τῆ]ς φιλτάτης μοι πάντων ἀδελφῆς αὐ[τῆς ο]ὔσης, ἧττον τὰ οἴκοι φίλα ἐποι ού[μην ὅ]τι μοι νέῳ ὄντι καὶ ἐπ’ ἀξιώμα τος δῆθεν λαμπρότητι ὁ στόλος ἐγίγνε το, “νῦν δὲ” δή, “ὅτε δὴ μέγας εἰμὶ καὶ ἄλ [λ]ων μῦθον ἀκούων πυνθάνομαι” καὶ οἱ μὲν τεθνᾶσι ἐγὼ δὲ σὺν τῇ λοιπῇ οἰκί ᾳ ἀποδημῶ καὶ τὸ τῆς ἀνάγκης ἅμα ἰσχυρὸν προσγέγονεν, ἧττον εὐθυμή σομαι; ἢ λαμπρυνοῦμαι ἐκείνοις μᾶλλον ὅτι ἑτέρων ἦρχον ἢ τοῖς νῦν, ἐάν γ’ ἐμαυ τοῦ ἄρξαι δυνηθεὶς (ἥπερ μεγίστη ἀρ χὴ ἦν) ὑπεράνω γένωμαι τῶν δεινῶν; 4. ἀρχὰς μὲν γὰρ καὶ τιμὰς ἐξ ἀνθρώπων καὶ τοῖς οὐδενὸς ἀξίοις πολλάκις ἔδω κεν ὁ θεός, οὐδὲν μέγα διδόναι νομί ζων, ἀλλὰ πρὸς τοῖς ἄλλοις καὶ ἀφαιρε τὰς ὥσπερ τὰ χρήματα· γνώμην δὲ δυναμένην ἀρχαῖς τε μὴ ἐπαίρεσθαι καὶ ξυμφοραῖς μὴ ταπεινοῦσθαι οὔτε πολ λοῖς ἔδωκεν οὔτε δοὺς ἀφείλατό πω λα βόντας.

96,14 Εἰ δ’ ἐμὲ ξένον καὶ ἀλλότριόν τινες τῶν ἐπιχωρίων νομιοῦσιν, ἀλλ’ ἐγὼ πολίτας ἐκείνους καὶ πατρίδα τήν δε τὴν γῆν λόγῳ τε καὶ ἔργῳ τίθεμαι (κρείτ των γὰρ ὁ θεὸς οἰκιστής, ὅς με εἰσῴκισεν ὅπη τε καὶ ὅπως ἐκείνῳ φίλον, πολὺ μᾶλλον ἢ Κάπυς τε καὶ Ἶλος καὶ Ἀλέξαν δρος καὶ εἴ τις ἄλλος μικρὰν μοῖραν || γῆς τείχεσιν περιγράψα[ς] ἐπώνυμον ἑαυτοῦ ἐποιήσατο) ἄνδρα τε εὔνουν πολὺ οἰκειότε ρον καὶ πόλει καὶ ἰδίᾳ ἑκάστῳ νομίζω ἢ ὅς τις φυλῆς τε καὶ φρατρίας καὶ ξυγγενείας ὀνό ματι ἐπαιρόμενος τοῖς ἔργοις ἀλλότριον αὑ τὸν ἀποφαίνει· οὐ γὰρ οἱ νόμοι οὐδὲ τὸ με τοίκιον πολίτας ἢ ξένους, ἀλλ’ ἡ γνώμη ποιεῖ. 2. ᾗ καὶ αὐτὸς θαρρῶν ἐμαυτὸν οὐ γράμμασιν ἀλλὰ εὐνοίᾳ τῇδε τῇ πόλει ἐγ γράφω, Δία τε πατρῷον τὸν αὐτὸν καὶ ξένι ον καὶ φίλιον προστάτην ποιούμενος καὶ Ἑστίαν κοινὴν θεῶν τε καὶ ἀνθρώπων μητέρα παρεχόμενος ξενίαν τε τράπε ζαν πολὺ τῆς ἰδίας ἑκάστῳ αἰδοιεστέραν, εἴ τις ὁσίως αὐτῆς προσάπτοιτο. ἢ γὰρ οὐκ αὐτὴ ἡ ξενία τράπεζα καὶ Πρίαμον Ἀχιλ λεῖ ξυνέστιον, ἡ [δ]έ γε Ἀτρέως πατρῴα τις νομ[ιζομέν]η [ἐχ]θρότατον τὸν ἀδελφὸν ἀπέ[δειξε κἀπέπ]εμψεν τοιαύτης θοίνης ἐμ[π]λήσασα; πρὸς μὲν δὴ τοὺς ἐπιχωρίους ταῦτα ἂν εἴη μοι οὐ τὰ τυχόν τα “δέραια καὶ γνωρίσματα”, πολὺ δ’ ἔτι πλείω γένοιτ’ ἂν καὶ μείζω. 3. ὁ γάρ τοι χρόνος προϊὼν ἅπαντας ξυνηθεστέ ρους ποεῖ, τέως δὲ χρῆν ἀνθρώπους ὄν τας τὸν μὲν οἰκεῖον εὐνοίᾳ, τὸν δὲ ξένον φιλοφροσύνῃ δεξιοῦσθαι· κυνῶν γὰρ τοιαύ τη φύσις, πρὶν καὶ εἰδέναι εἴτε τινὶ χρηστῷ ἑτέρῳ κυνὶ εἴτε καὶ πονηρῷ ἐνέτυχεν, πρὸς τὴν πρώτην ἔντευξιν τοῦ ἀήθους ἀγριαίνειν. διόπερ τῷ Ὁμήρῳ οἱ Ἕλληνες πεποίηνται τῶν ξένων τοὺς ἐντυγχάνον τας πρότερον ἐφ’ ἑστία 〈σι〉 ν παρακαλοῦν τες, μετὰ δὲ τὸ δεῖπνον τίνες τε καὶ πό θεν εἶεν ἐξετάζοντες, ὡς μὴ αἱ πύστεις ἔσθ’ ὅπῃ ἐναντί 〈αι〉 οὖσαι ἐμπόδιον γένοιν το τῆς ὑποδοχῆς τῇ φιλανθρωπίᾳ.

96,15 Ἡ δὲ τῶν οἰκείων φίλων τε καὶ ξυγγενῶν ἐπιπόθησις τοῦ τῆς πατρίδος ἔρωτος ἐξηρ τημένη δεύτερον ἐπ’ ἐκείνῳ ἀγώνις μα προτέθειται, γενέσεώς τε καὶ τῆς ἐκ παίδων κοινῆς ἀνατροφῆς 〈ἀναγκαιότητασ〉 ἀναμιμνῄς κουσα, διδασκαλείων τε ξυμφοιτήσεις καὶ γυμνασίων ὁμοήθεις διατριβάς, ἡλικιωτῶν τε καὶ ξυνεφήβων τερπνὰς ὁμιλίας, ὥς περ φίλτρα ταῦτα καὶ δελέατα τῇ ψυχῇ προσβάλλουσα. πρὸς ἣν ἐγὼ ἐλάττονος ἡγοῦμαι δεήσεσθαι πόνου τε καὶ

ἱδρῶτος. 2. τὸ μὲν γὰρ τῆς πατρίδος ἐξ ἀκινήτων τε καὶ ἀψύχων ξυγκείμενον τὸ ἐμὸν τῆς αὐ τόθι διατριβῆς ὑπὸ ἀνάγκης ἐνδεὲς ἀνα 〈πληροῦν〉 || οὐχ οἷόν τε ἦν· ἐν γὰρ τῇ ἐμῇ ἐπιδημίᾳ τε καὶ ἀπο δημίᾳ τὸ ἅπαν ἀπέκειτο· τὴν δὲ δὴ πατρίδα μὲν εἶναι ἔνθα ἵδρυται ὑπὸ φύσεως πᾶς' ᾖ 〈ν〉 ἀνάγ κη ἐμέ τε ἐνταῦθα τὸ τοῦ νόμου ἰσχυρὸν κατεῖ χεν (χαλεπὸν δὲ δυοῖν ἀνάγκαιν, φύσεώς τε καὶ νό μου, μιᾷ καρτερίᾳ ἀντιτάξασθαι)· ἄνθρωπος δέ, ᾧ πολυκίνητον φύσιν ἔδωκεν ὁ θεός, "ἐπὶ τραφε ρήν τε καὶ ὑγρήν" πωλουμένῳ, τοῦτο μὲν τοῖς πο σὶ βαδίζειν τοῦτο δὲ ἐπὶ παντοίων πεζῶν τε καὶ θαλαττίων ὀχημάτων φέρεσθαι, κέρδους μὲν καὶ ἐμπορίας ἕνεκεν καὶ γάμων ἀλλοτρίων γῆν ἐκ γῆς καὶ θάλατταν ἐκ θαλάττης ἀμείβων, "ἑτάρους ἐρίηρας ἀγείρας, μιχθεὶς ἀλλοδαποῖσι γυναῖκ' εὐειδέα" διαφθείρων, ἣν δέῃ, ἔκ τε δυς μῶν ἐπ' ἀνατολὰς περαιώσεται καὶ ἐξ ἀνατο λῶν ἐπὶ δύσεις ἴσον τῷ ἡλίῳ δρόμον δολιχεύ ων ἀπό τε μεσημβρίας ἐπὶ ἑσπέραν κα[ὶ] πάλιν αὖ τὸν ἐναντίον δίαυλον περαιούμενος, οὔτε ὁρῶν ὑπερβολὰς οὔτε [ὁ]δ[ῶ]ν δυσ[π]όρευτα οὔτε καύ ματος μέγεθος καὶ χει[μῶ]νο[ς κ]ρ[ύος ὑ]ποτιμώ μενος, ἀλλὰ κἂν ναυαγήσας ἐκκολυμβήσῃ, ἑτέρας νεὼς ἐπιβήσεται, πάντα δὲ ἐμβατὰ καὶ πορευτὰ τῇ ἑαυτοῦ τόλμῃ νομιεῖ· 3. φίλος δὲ 〈ὃς θέλει〉 εἶναι, ἐὰν ὡς ἀληθῶς φίλος ᾖ καὶ τὸ τῆς φιλίας ἐπίστηται μυστήριον, ἐπὶ πάσῃς δόξης καὶ ἐπι τηδεύσεως καὶ τύχης κοινωνίᾳ παρειλημμέ νος, ὀκνήσει ὀλίγων ἡμερῶν ὁδὸν ἀποδημή σας αὐτός τε ἑαυτῷ τὴν καλλίστην πανηγύ ρεων καὶ θεαμάτων φίλου ὄψιν παρασχεῖν κἀκείνῳ τὸ καθ' αὑτὸν μέρος τὴν συμφορὰν ἀποκουφίσαι;

96,16 Οὐ μὴν οὕτως γε διενοοῦντο οἱ τοῦ Ἰάσονος φίλοι, ἀλλ' ἄσμενοι ἄλλος ἄλλο θεν εἰς Κόλχους αὐτῷ ἀποδημοῦντι συνηκο λούθουν, οὔτε ὅποι πλεῖ οὔτε καθόλου πλεῖν ἐπιστάμενοι (ἔτι γὰρ ἄπλους ἦν ἡ θάλασσα), οὔτε μὴν τὴν αἰτίαν τοῦ στόλου ἐξετάζοντες, ἀλλὰ τὴν ἐκείνου τύχην ἱκανὴν σφίσιν πρό φασιν τῆς ἀποδημίας || ἡγούμενοι. αὕτη γὰρ ἡ πρώτη ἐν ἀνθρώποις κα τασκευασθεῖσα ναῦς φίλων ἀλλ' οὐκ ἐμμ[ίσθω]ν ναυτῶν ἐνεπλήσθη, ὧν οἱ πλεῖστο[ι καὶ] βασι λῆς, εἰσὶν δὲ οἳ καὶ θεῶν παῖδε[ς] ὄντ[ες αὐθαί]ρετοι πλεῖν οὐκ ᾐσχύνοντο. 2. ἀλλὰ μί' ἦν α[ὕτη ἡ] ναῦς. τί δέ; αἱ χίλιαι νῆες τῶν Ἀχαιῶν οὐ τοιούτου φόρ του γέμουσαι ἐπὶ Τροίαν ἐστάλησαν, τῶν ἐξ ἁπάσης τῆς Ἑλλάδος ἀρίστων ἀκολουθούντων ἑνὶ φίλῳ ἠδικημένῳ; παρέμενον δὲ οὐ μόνον αὐτόμισθοι καὶ αὐτότροφοι, ἀλλὰ καὶ τῶν φιλ τάτων καὶ οἴκοι καὶ ἐπὶ στρατείας καταφρονοῦν τες, Πρωτεσίλαος μέντοι καὶ Ὀδυσσεὺς τῶν γυναι κῶν, Νέστωρ δὲ τῶν παίδων, Τεῦκρος δὲ τοῦ ἀδελ φοῦ, Ἀχιλλεὺς δὲ τοῦ ἐρωμένου τελευταῖον δὲ καὶ αὐτὸς αὑτοῦ, ὅς, τῆς μητρὸς αὐτῷ προειπού σης ὅτι οἴκοι μὲν διατρίβων ἀθάνατος ἔσται, πλεύσας δὲ ἐπὶ Τροίαν νεώτατος ἀποθανεῖται, εἵλατο παραμείνας αὐτοῦ ἀποθανεῖν, καὶ ταῦτα οὐ χρηστοῦ τοῦ φίλου πειρώμενος. 3. τί δέ; οὐ Πυλάδης μὲν ὑπὸ Ἐρινύων ἐλαυνομένῳ καὶ μαινομένῳ τῷ φίλῳ ἠκολούθει, Θησεὺς δὲ Πειριθόῳ εἰς Ἅιδου ἀπιόντι ξυναπεδήμει; ὧν ὁ μὲν οὔτε θεῶν μῆνι μα οὔτε ἀνθρώπων μίασμα πρὸ τοῦ φίλου ἐφυλά ξατο, ἀνδρὶ μητροκτόνῳ ξυνέστιός τε καὶ ὁμω ρόφιος εἶναι θέλων· Θησεὺς δ' ἂν ὀκνῆσαί σοι δοκεῖ ἐπὶ Χίου ἐκ Μίμαντος μικρὰν θάλασσαν περαι ώσασθαι, ὃς καὶ τὸν Ἀχέροντα τῷ φίλῳ ἑκὼν ξυν έπλει καὶ ἐπὶ τῆς Ληθαίας πέτρας ξυνεκάθητο, ἐν τεῦθεν δὲ ἄκων ὑπὸ τῆς Ἡρακλέους βίας ἐξανές τη; 4. οὗτοι μὲν οὖν καὶ τοιοῦτοι φίλοι· ὁ δὲ ἐμὸς φί λος ἐμὲ μὲν ἀξιώσει 〈τὸ〉 ἐφ' ἑαυτῷ λυπούμενον ζῆν ὀδυνηρὸν οὕτω καὶ ἐλεεινὸν βίον, ὥς πού τις καὶ ἄλλος ἐρημίᾳ φίλων πόντον ἐπ' ἀτρύγετον δερκέσκετο δάκρυα λείβων, αὐτὸς δέ, ἐξὸν αὐ τῷ ἀπὸ τῆς φύσεως καὶ τῶν νόμων, ἑκὼν τῆς ἐμῆς συνουσίας αὑτὸν ἀποστερήσει, εἶτα ἐμὲ οἰκτιεῖ ὡς οὐκ αὐτὸς ὢν οἰκτρότερος; τί γὰρ μᾶλ||λον ἐγὼ ἐκείνῳ φυγὰς ὅτι ἐκεῖνον οὐχ ὁρῶ, ἢ ἐκεῖνος ἐμοὶ ὅτι ἐμὲ οὐχ ὁρᾷ; πλὴν ὅτι ἐγὼ μὲν οὐ δύναμαι, ἐκεῖνος δὲ οὐ βούλεται. εἰ μὲν οὖν ἐθελήσει, ἀφίξεται καὶ οὐκ ἀνιάσομαι 〈 〉. ἴθι· ἡμᾶς δ' ἔα ζῆν ἐνθάδ'· οὐ γὰρ ἂν κακῶς οὐδ' ὧδ' ἔχοντες ζῷμεν, εἰ τερποίμεθα. 5. πῶς γὰρ τὸν τοιοῦτον φίλον χρὴ νομίζειν, ὃς καὶ τῶν χελιδόνων καὶ τῶν τροχίλων τῆς εὐ νοίας λείπεται; οὗτοι γὰρ οἱ ὄρνεις, ἐπειδὴ ἅπαξ φιλίαν συνέθεντο, αἱ μὲν χελιδόνες πρὸς τὸν ἄνθρωπον οἱ δὲ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τροχίλοι πρὸς τοὺ[ς κορ] κοδίλους, καίτοι ἑτερογενῆ ὄντα, οὐκ ἄν πο τε ἀπολειφθεῖεν ἀλλήλων, ἀλλ’ ἔνθα ἂν ὁ ἄνθρωπος οἰκῇ ἐκεῖ καὶ χελιδόνα εὑρήσεις, καὶ ἔνθα ἂν κορκόδιλος ᾖ ἐνταῦθα καὶ τρο χίλον εὑρήσεις· τῷ δὲ οὐδὲν μέλει ποῖ γῆς ἢ θαλάττης ἐγώ.

96,17 Τοιοῦτον ἀνθρώ ποισιν ἡ δυσπραξία, ἧς μήποθ’ ὅστις καὶ μ[έ]σως εὔνους ἐμοὶ τύχοι, φίλων ἔ[λεγ]χον [ἀψευ]δέστατον. χρυσὸν μὲν γὰρ καὶ ἄργυρον τὸ πῦρ δοκιμάζειν πέφυκεν, τὰς δ’ εὔπλους τῶν νεῶν ὁ χειμών, τοὺς δὲ φίλους αἱ τῆς τύχης μεταβολαί. 2. ἀνδρὶ μὲν εὐπρ[αγ]εῖν δοκοῦντι πάντες ἐθέλουσιν εἶναι φίλοι, ἄλλος ἀλλαχόθεν συρρέοντες, καὶ οὔτε θύ ραι ἱκαναὶ ἀποκωλῦσαι οὔτε αἰδὼς ἐμ ποδὼν ἵσταται τῇ θεραπείᾳ· μέχρι μὲν δὴ οὔρια μένει τὰ τοῦ δρόμου, τοῦτο δὴ τοῦ λόγου, πάντες ἀγαθοὶ ναῦται, πάντα ὅμοια καὶ δυσδιάκριτα· καὶ γάρ τοι τὰ τῆς κολακείας ταύτῃ πανουργότατα, ᾗ τὴν ἀληθῆ φιλίαν μιμεῖσθαι ἐπιτηδεύει· ἐπειδὰν δὲ ὁ τύ χης χειμὼν ἐμπέσῃ, τότε δὴ τοὺς μὲν κούφους τε καὶ ἐπιπλάστους τῶν φίλων δο κούντων ὥσπερ ἄνεμος ἐξ ἀχυρμιᾶς ἐξε φύσησέν τε καὶ διερρίπισεν, ὀλίγοι δὲ οἱ ἀληθεῖς φίλοι πυρῶν δίκην ὑπομένου σιν. νῦν γὰρ εἶ χρεῖος φίλων· θεοὶ δ’ ὅταν τιμῶσι 〈ν〉 , οὐδὲν δεῖ φίλων· ἅλις γὰρ ὁ θεὸς ὠφελῶν ὃν ἂν θέλῃ. 3. ἢ οὐκ οἴει καὶ Πειρι θόῳ ἐν Θετταλίᾳ πολλοὺς καὶ Ὀρέστῃ ἐν Μυκήναις ἔτι πλείους ἑταίρους δοκεῖν; ἀλλά, ἐπειδὴ τύχῃ ἐχρήσαντο οἵᾳ δή, τῷ μὲν Θετταλῷ Ἀθηναῖος εἷς, Φωκεὺς δὲ 〈εἷσ〉 τῷ Μυ κηναίῳ μόνοι ἑταίρων ἀπελείφθησαν, τοὺς δὲ ἄλλους Θετταλῶν τε καὶ Μυκηναί ων ἡ ἐναντία τύχη ἀπερρίπισεν. 4. ὅπερ || γὰρ τὸν Μῶμον τῷ Προμηθεῖ μέμ[ψα]σθαι λέγουσιν, ὡς τὰ μὲν ἄλλα μέρη τοῦ ἀνθρώ που ὀρθῶς ἔχοντα, τὰς δὲ φρένας οὐ δε όντως ὑπὸ τῷ στέρνῳ κατακρύψαντι (χρῆναι γὰρ ἐπιθεῖναί τινα ὀπὴν δι’ ἧς τὴν γνώμην τοῦ προσιόντος κατοπτεύσομεν, πρὶν καί τινα πρὸς αὐτὸν κοινωνίαν ξυνθές θαι), τοῦτο δὴ οὐκ ὀρθῶς μέμψασθαί μοι δοκεῖ· ἱκανὴ γὰρ ἡ τῆς συμφορᾶς ὀπὴ αὐτόν τέ τι να δεῖξαι ὅστις ἐστὶν καὶ τοὺς προσιόντας ὅπως γνώμης ἔχουσιν. βεβαιότατος γὰρ καὶ [φίλο]ς καὶ θεράπων ὁ τὸν δυστυχοῦντα [θεραπ]εύων· δῆλον γὰρ ὡς εὐτυχοῦντος [οὐκ] ἀποστήσεται.

96,18 Ὅστις δὲ ἐν δυστυχίᾳ, πρό [τερον] οὐκ ὢν φίλος, φιλίας ἀρχὴν ἐποιήσα το, οὗτος δὴ τῶν πρότερον ἔτι βεβαιότερος, οὐ χρείαν τὴν ἑαυτοῦ, ἀλλ’ ἀρετήν, φιλίας πρόσ χημα ποιούμενος. ὧν ἐγὼ πολλὰ μὲν καὶ ἐπ’ ἐμαυτοῦ, πολλὰ δὲ καὶ ἔτι παλαίτερα πα||ραδείγματα εἰπεῖν ἔχων, μιᾶς τῆς Ἀδράς του οἰκίας ἐπιμνήσομαι. ἢ γὰρ οὐχ οὗτος Θυέστην μὲν ὑπὸ τοῦ ἀδελφοῦ ἐλαυνόμε νον, ἄνδρα διὰ τὸ μέγεθος τῶν κακῶν οὐ δὲ οἰκίᾳ δεκτόν, ἐδέξατό τε καὶ ἐκάθηρεν, δύο δ’ ἑτέρους φυγάδας μιᾷ ἡμέρᾳ, τὸν μὲν ἐξ Ἄργους τὸν δὲ ἐκ Θηβῶν, || οὐ ξένους μόνον ἀλλὰ καὶ γαμβροὺς ἐποι ήσατο, τῷ δὲ ἑτέρῳ αὐτῶν ἐπαμύνων ἐστρά τευεν; 2. ἆρά σοι οὐ δοκεῖ ὁ τοιοῦτος τῷ ἔργῳ καὶ μεταγράψαι τόδε τοῦ Εὐριπίδου ἔπος, ὃ ἐκεῖνος ἐς τοὺς φίλους ἐποίησεν εἰπὼν “εὖ πρᾶττε· τὰ φίλων δ’ οὐδέν, ἤν τις δυστυχῇ”; ἄμεινον γὰρ 〈ἂν〉 οὕτως ἔχοι εἰς τὸ Ἀδράστου· “εὖ πρᾶττε, τὰ δὲ τῶν ἀληθινῶν φίλων ἰσχυρά, ἤν τις δυστυχῇ”, οὓς ὁ αὐτός που ποιητὴς λέγει “καὶ φίλους αἰεὶ φίλους”. 3. καὶ πάλιν ἀκούομεν ἐν τῇ παροιμίᾳ “οὐδεὶς φίλος οὐδὲν ἔχοντος”, τὸ δὲ τοῦ Λακεδαιμονίου Χίλωνος “οὕτως φιλεῖν ὡς μισήσοντα”, 〈ἃ〉 ἔγωγε ἂν μεταγρά ψαιμι ἐπὶ τὸ ἀληθέστερον, τὸ μὲν ὅτι “βέ βαιοι φίλοι οὐδὲν ἔχοντος”, τὸ δὲ ὅτι “οὕτως χρὴ φιλεῖν ὡς δυστυχήσοντα”. εἰ γάρ τις μετὰ ταύτης τῆς ξυνθήκης φιλίᾳ πρόσει σιν, οὔτε φυγὴ αὐτὸν τοῦ φίλου μετατρέ ψει οὔτε δεσμὰ ἀπερύξει οὔτε μὴν ὁ πάντων ἰσχυρότατος θάνατος || ἐπιλήξει· τοὐναντίον δὲ ταῦτα καὶ τὰ τοιαῦτα ἐπιτενεῖ τὴν φιλίαν καὶ προσαυ ξήσει, τῷ μὲν εὐτυχοῦντι ἐν καιρῷ τῆς τοῦ φί λου εὐνοίας 〈ἀφορμὴν παρασχόμενα〉 , τῷ δὲ 〈δυστυχοῦντι〉 ἐς τὸ δέον τὴν τῆς γνώμης βεβαιότητα ἐνδειξάμενα.

96,19 Πλούτου δὲ καὶ τιμῶν ἐν ἀνθρώποις καὶ γένους καὶ ἀξιώμα τος καὶ τῆς τῶν πολλῶν δόξης πολὺ ἔτι ἐλάτ των ἀνδρὶ ἀγαθῷ λόγος. ἀλλότρια μὲν γὰρ καὶ τὰ προειρημένα, ἥ τε πατρὶς καὶ τὰ τέκνα καὶ συγγέ νεια καὶ φίλοι, καὶ τὰ ἄλλα πάντα οὐκ ἐμὰ ὅσα μὴ ἐπ’ ἐμοί· τὸ δὲ μὴ ἐφίεσθαι τούτων ( 〈ἐπ’ ἐ〉 μοὶ γάρ ἐς τιν) εἰκότως ἐμαυτοῦ τίθεμαι καὶ καλῶ. πάντων δὲ ὅσα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μὴ ἐφ’ ἡμῖν ἀλλοτρίων ὄντων, τὰ κατά τι μάς τε καὶ δόξας καὶ πλοῦτον ἀλλοτριώτατα πάν των ἐστίν. 2. τεκμήριον δέ· πρὸς μὲν γὰρ τὰ τέ κνα καὶ τοὺς τόπους καὶ τοὺς φίλους φυσικήν τινα κέκτηται διάθεσιν ἔσθ’ ὅπη καὶ τὰ θη ρία, τόπους τε ξυνήθεις καὶ θῆρας συννόμους πάντων τε μάλιστα τέκνα καὶ γονέας ἀσπα ζόμενα, πλούτου δὲ πέρι καὶ τιμῆς οὐδὲν ἄλ λο ζῷον ἔξω ἀνθρώπου περιεργάζεται, ἀλλὰ πλοῦτον αὐτοῖς ἱκανὸν οἴεται τὴν ἀναγκαίαν || τῆς τροφῆς εὐπορίαν· ταῦτα δὴ οὐδεμία ζῴου φύσις πένης ἂν γένοιτο· ἀρχὰς δὲ οὐ τῇ δόξῃ τῶν ἄλλων ζῴων περικτᾶται, ἀλλὰ τῇ ὑπερ οχῇ τῆς ἀρετῆς ἐν ᾧ ἕκαστον κρεῖττόν ἐστιν. 3. οὔτε γὰρ ἵππος ποτὲ ἐφρόντισεν τῆς παρὰ τῶν λοι πῶν ζῴων τιμῆς ἢ καὶ ἀτιμασίας, ἀλλὰ ἡγεῖ ται τῶν ἄλλων τάχει διαφέρων φυσικήν τινα ἀρχὴν ἄρχειν κατὰ τὸν δρόμον, οὔτε λέων [πο]τὲ περὶ πολλοῦ ἐποιήσατο τί δὴ περὶ αὐτοῦ [τὰ ἄλλα] ζῷα φρονεῖ τε καὶ λέγει, ἀλλ’ ἡγεῖται τῇ [ἰσχύι ὑ]περέχων ταύτην ἑαυτῷ ἐν τοῖς ἀσθε [νεστέροις] ἀληθεστάτην εἶναι ἀρχήν τε καὶ τιμ[ήν. 4. ἄνθρ]ωποι δέ, ὥσπερ τὸν λογισμὸν διὰ τα[ῦτα κεκτ]ημένοι, ἀλλ’ οὐ διὰ τὴν τούτων κατα φρόνησιν, 〈 〉. τὸν μὲν γὰρ πλοῦτον τῆς ἀναγκαίας τρ[οφῆς ὑπε]ρβιβάσαντες, τὸ μετὰ τοῦτο ἀπέραν [τόν τε] καὶ ἀ[ό]ριστον ἐποιήσα〈ν〉το. οὐδεὶς γοῦν οὕτως [πλουτε]ῖ ὃς οὐκ ἐλάττω ἔχει ὧν βούλεται, εἰ δὲ [καὶ ἐπ’] ἐκεῖνα ἀφίκοιτο, πάλιν αὖ τοὺς ὅρους τῆς ἐπιθυμίας προσωτέρω μετατίθησιν. 5. τό γε μὴν ἔντιμον οὐ πρὸς τὸ ἀρετῆς ὑπερέχον, ἀλλὰ πρὸς τὸ δόξης πλῆθος κρατοῦν κρίνεται, τὸν μὲν ἀγα θὸν ἔσθ’ ὅτε ἄτιμον τὸν δὲ πονηρὸν ἔντιμον, ἐὰν οὕτως τοῖς πολλοῖς δοκῇς, νομιζόντων, οἵτι νες οὐκ ἐν τῇ ψυχῇ τὸ ἀξιόλογον, ἀλλ’ ἐν τῷ στε φάνῳ καὶ τῇ πορφύρᾳ καὶ τῇ τιάρᾳ τιθέμενοι, τὰς τούτων πάλιν αὖ ἀφαιρέσεις αὐτοῖς τε εὐ καταφρονήτους καὶ τοῖς ἀφαιρεθεῖσιν ἐπονει δίστους νομίζουσιν. ἐμοὶ δὲ ἀρκεῖ κατὰ τὴν τοῦ Σοφοκλέους Ἠλέκτραν τοὐμὲ μὴ λυποῦ〈ν〉 μόνον βόσκημα, τῆς σῆς δ’ οὐκ ἐρῶ τιμῆς τυχεῖν.

Καίτοι δὲ οὕτως τούτων ἐχόντων, ὅμως οὐκ αἰσχύνονται μεγάλα ἐπ’ αὐτοῖς φρο νοῦντες, ἐπειδὰν αὐτοῖς οἱ πολλοὶ ἕδρας τε ἐξ ανιστῶνται καὶ ὁδῶν ἐκτρέπωνται· εἰ δέ τις οὐκ ἐθελήσαι, τοιαῦτα κηρύττουσιν ὁποῖα ὁ τοῦ Εὐριπίδου Λάιος ὦ ξένε, τυράννοις ἐκποδὼν μεθίστασο, οὐκ εἰδότες ὅτι ὁ ξένος αὐτὸς αὐτὸν ὀλίγον ὕστερον τῆς τε τυραννίδος καὶ τῆς γυναικὸς ἀφαιρήσεται, ἀφελόμενος δὲ καὶ αὐτὸς ἁπάντων “ἀθλιώτατος βροτῶν” γενή σεται, ἀθλιώτεροι δ’ ἔτι οἱ ἐξ ἐκείνου γενόμενοι. 2. φασὶν δὲ Αἰθιόπων τῶν πρὸς ἀνατολὰς τὸν βασιλέα, εἴ τινα ἐν τοῖς ἐπιχωρίοις τιμᾶσθαι ἐθέλοι, ἀφελόντα διδόναι τῶν ζωμάτων ἓν τῶν ἑαυτοῦ· αὕτη γὰρ Αἰθιόπων στολή. μέ χρι δ’ ἂν τοῦτο ἐζωσμένος περινοστῇ, ἅπαν τες τοῦτον οἱ ἐντυγχάνοντες προσκυνοῦσίν τε καὶ περιέπουσιν· ἐπειδὰν δὲ τῷ βασιλεῖ δοκῇ〈σαν〉 πάλιν ἀποθῆται τὸ ζῶμα, οὐδεὶς αὐ||τὸν Αἰ[θιόπ]ων ὑπαντιάζων οὐδὲ τὸ κοινό τερον προσαγορεῦσαι ἀξιώσει. 3. πρὸς δὲ τοὺς ἐπὶ τοῖς τοιούτοις φυσωμένους εἴποι τις ἂν ἅπερ ἡ μήτηρ πρὸς τὸν Πολυνείκην λέγει νουθετοῦσα· τί τῆς κακίστης δαιμόνων ἐφίεσαι, φιλοτιμίας, παῖ; μὴ σύ γ’· ἄδικος ἡ θεός· πολλοὺς δ’ ἐς οἴκους καὶ πόλεις εὐδαί μονας ε[ἰσ]ῆλθε ἐπ’ ὀλέθρῳ τῶν χρωμέ νων· ἐφ’ ᾗ [σὺ] μαίνῃ. 4. ἐγὼ δὲ ταῦτα τῇ Ἰοκάς τῃ προσ[ ...... · τ]ί δὲ κομπάζεις, ὦ δύστη[νε, καὶ ἐπ]ὶ σαυτῷ φρονεῖς μέγα; μὴ γὰρ [μεταπεσοῦ]νται οἱ πολλοὶ οὗτοι· μὴ γάρ σε τή[μ]ε[ρον μὲν ἀγλα]ΐζουσιν τῇ πορφύ ρᾳ, μεθιστά[ντες δέ π]ως ἃ τιμῶσιν αὔρι όν γε αὖ, ἐάν τις ἕτερος ταῦτα καὶ πολὺ χείρων σοῦ με[τ]αλάβ[ῃ, ...... ] ἐκείνῳ σὺν τοῖς ἄλλοις λα[τρεύσουσι]. πρὸς τῶν θεῶν, οὐκ αἰσχύνει [ἐπ’ ἀμ]φιέσμασιν καὶ βάμμασιν ἀλλοτρί[οις μεγ]αλαυχούμενος καὶ χαλκῆν [μ]ὲν τ[ο]ῦ [σώμα]το[ς] εἰκόνα καλὴν καὶ με γάλ[ην] ἔχ[ω]ν ἐν πρυτανείῳ, αἰσχρὰν δὲ καὶ μικροπρεπῆ 〈τὴν〉 τῆς ψυχῆς ἐν σαυτῷ περιφέ ρων, τοῖς δὲ τῶν προγόνων ὀνόμασιν ἐπαι ρόμενος, ὥσπερ αὐτὸς ὄνομα οὐ〈κ〉 ἔχων, ἐπὶ δὲ τῷ γένει μεγάλα κομπάζων; 5. ἢ οὐκ οἶς θ[α ὅτι ἐ]ς πάσα[ς] τ[ὰς] παλαιὰς ἐκείνας εὐγενεί ας ἀναφέρων ἀνοίσεις ἢ εἰς τὸν Προμηθέ ως πηλὸν ἢ εἰς τοὺς Δευκαλίωνος λίθους; οὐκ ἀποθέμενος καὶ ἀποδυσάμενος ταῦτα || τὰ ξύμβολα [γυμνὸ]ν ἡμῖν ἐπιδείξεις σεαυτὸν ὁπο[ῖος ε]ἶ, μᾶλλον δὲ οὐδὲ γυμνόν, ἀλλὰ ἀντὶ μὲν πορφύρας

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πενίαν ἠμφιες μένον, ἀντὶ δὲ ἀρχῆς καὶ στροφίων ἀναρχί ᾳ ἐστεφανωμένον; κἂν τότε σέ τις ἀνὴρ ἀγα θὸς θαυμάσῃ ἢ τιμήσῃ, προσιὼν τὸ γένος ἀπὸ σαυτοῦ ἀνάγραφε. φρονήσῃς μὲν οὖν μη δέποτε ἐπὶ σαυτῷ μέγα, ἀλλὰ μηδὲ κα ταφρονήσῃς σεαυτοῦ, τιμὴν ἀληθῆ ταύτην νο μίσας ἀθάνατον καὶ ἀναφαίρετον.

96,21 Οὐχ ὁρᾷς οἷος ἦν Ὀδυσσεὺς ῥάκ 〈ια κ〉 ακ' ἀμ[φὶ σώματ]ι ἔχων, ὥστε καὶ τὰ ἄλλα οἱ μνηστῆρες ἐθαύ μαζον αὐτοῦ, οἵην ἐκ ῥακέων ὁ γέρ[ων ἐ]πι γουνίδα φαίνει; ἐκεῖνοι μὲν οὖν τὴν ἐπι γουνίδα, ἐγὼ δὲ ἕτερόν τι θαυμάζω, [οἵην ἐκ] ῥακέων ὁ γέρων, καὶ προσέτι γε καὶ ἀλ[ήτης] Ἴρου πτωχότερος, τὴν εὐψυχίαν κα[ὶ θάρσος] ἐνδείκνυται, οὐ τῷ θεῷ μεμ[φό]μ[ενος ἐν] ταῖς ξυμφοραῖς οὐδὲ τῇ τύχῃ δι[οργιζόμε] νος ἐν ταῖς δυσπραγίαις, ἀλλ' εὐγ[νωμόν]ως ἔχων 〈πρὸσ〉 ἅπαντα καὶ πράως ὅσα ἐκ[εῖνος ἐπ]ι τάττει. 2. καί μοι δοκεῖ ὧ[δε ἐ]ν τ[αύταις τ]ῆς τύ χης μεταβολαῖς γενόμενο[ς πρὸς τὸ]ν θεὸν αἰεὶ λέγειν· "εἰ βασιλέα με, ὦ Ζεῦ, Ἰθακησ[ί]ων εἶναι θέλεις, κἀγὼ βούλομαι· βασιλεύσω δὲ οὐ χ ὡς Ἔχετος οὐδ' ὡς Σαρδανάπαλλος οὐδ' ὡς Ἀρβάκης. θέλεις με εἶναι ναυαγόν; κἀγὼ βούλομαι· ναυαγὸς δὲ ἔσομα[ι Αἴ]αντος ὁσιώ τερος. θέλεις με λιμὸν ὑ[πομεῖ]ναι; οἴσ[ω κ]αὶ τοῦτον, ἀλλὰ τῶν ἐμ[ῶν ἑταίρω]ν ἐγκρατές τερον. πτωχεῦσαί μ[ε θέλεις; οὐ]κ ἀναίνομαι· πτωχεύσω δὲ Ἴρ[ου μετριώτε]ρον. καὶ τυπτόμενος κάκισ[τα καὶ] βαλλόμ[ενος] ὑπὸ τῶν ἐμῶν ἐχθρῶν [ἀνέ]ξομαι π[ράως], ἐ ὰν σὺ ἐθέλῃς. εἶ[τ]α βασιλε[ύσω] πάλιν, ἐ[ὰ]ν σύ με κελεύῃς, κα[ὶ] πλεύσω πάλιν, ἐάν σοι δοκῇ, εἰς ὅ κε τοὺς ἀφίκ[ω]μαι οἳ οὐκ ἴσασι θάλας σαν ἀνέρες, οὐδέ θ' ἅλεσσι μεμιγμένον εἶδαρ ἔδουσιν". 3. ὁ μὲν οὖν Ἰθακήσιος οὕτως· ἠπίστατο γάρ, οἶμαι, καίτοι [ἐν νή]σῳ τραφεὶς τί ἴδιον καὶ τί οὐκ ἴδιον, καὶ ὅτι [θ]εῷ ὄντι πείθεσθαι δεῖ μὴ λυπούμενον καὶ ἐφ' αἷς ξυνθήκαις εἰς τὸν βίον παρελήλυθεν· ἡ μεῖς δὲ οἱ τῶν νησιωτῶν „ἡγήτορες ἠ δὲ μέδοντεσ“ πῶς τὰ μὲν ἄλλα ζῷα ἅπαν τα ἠξιοῦμεν αὐτοῖς ὑπείκειν καὶ βιοῦν ὅπως ἂν θέλωμεν καὶ ἡμῖν ξυμφέρῃ (τὰ μὲν οὖν τρυφῶντα τὰ δὲ ἀλλήλοις ἐπι χειροῦντα τὰ δὲ ἀγωνιζόμενα τὰ δὲ θυό μενα, νῦν μὲν ἀροτριᾶν ἀναγκάζομεν, αὔρι ον δὲ „ὑπ' ἀμά[ξ]η μεν“, αὖθις δὲ κατα θύομεν, καὶ νὴ Δία γε τὸν αὐτὸν ἵππον ποτὲ μὲν ἐς πομπὴν κοσμοῦμεν, ποτὲ δὲ εἰς Ὀ λυμπίαν πέμπομεν ἀγωνιούμενον, πο τὲ δὲ ἄχθη φέρειν καὶ ὀρειβατεῖν, ἐσθ' ὅπῃ δὲ καὶ ἀλεῖν προσαναγκάζομεν), αὐτοὶ δὲ τῷ θεῷ οὐκ ἄσμενοι ἀκολουθήσομεν ἐς τὸ ἅπαντος τοῦ κόσμου ζύμφορον ἐξηγουμέ νῳ; 4. ἀλλὰ Σόλωνι μὲν πεισόμεθα καὶ Δρά||κοντι καὶ Χαρόνδᾳ καὶ Λυκούρ[γῳ. καί, ἐάν τις] μαστιγοῦσθαι κελεύῃ, μαστιγωσόμεθ[α ἐ]πὶ τῷ βω μῷ τῶν Ἑλλήνων ὁρώντων μηδὲν ἐξ[ῶ]λες δ[οκοῦ]ν τες, πιστεύοντες αὐτὸν εἰς τὸ κοινῇ συ[μ]έφρο[ν καὶ λ]υ σιτελοῦν νομοθετῆσαι τάσδε τὰς πληγὰς (Περσῶν δὲ οἱ γενναιότατοι κάρδαμον ἐπὶ τῷ σίτῳ ἐσθίον τες καὶ χαμα 〈ὶ〉 καθεύδοντες ἀνέχονται, Ἀριμασποὶ δὲ εὐθὺς ἐκ παίδων τοῦ ἑτέρου τῶν ὀφθαλμῶν ἀ φαιρούμενοι τῷ νόμῳ πείθονται, Ἀμαζόνες δὲ τοῦ μαστοῦ), τοὺς δὲ θεοὺς οὐ πιστεύομεν ἐς τὸ δέον ἡμῶν προστατεῖν; 5. καίτοι οὐ τοσοῦτον τῶν ἄλλων ζῴων διαφέρομεν ὅσον οἱ θεοὶ ἡμῶν, οὐδὲ τοσούτων αὐτοῖς ἀγαθῶν αἴτιοί ἐσμεν ὅσων οἱ θεοὶ ἡμῖν. ἐνί οις μέν γε τῶν ζῴων οὐδὲ τροφὴν παρέχομεν, μόλις δὲ καὶ ἐῶμεν αὐτὰ ἑαυτοῖς ἐκ τῆς γῆς λαμ βάνειν· παρὰ δὲ θεῶν τὰ μὲν μέγιστα τῶν ἀγαθῶν δωρεὰν εἰληφότες, τόν τε νοῦν καὶ ξύνεσιν καὶ λό γον καὶ λογισμὸν καὶ τὰς ἀρετὰς ἀναφαιρέτους καὶ τὴν ὀρθὴν χρῆσιν τῶν φαντα-

96,21 (50) σιῶν, περὶ μὲν τούτων αὐτοῖς χάριν οὐκ ἔχομεν;

96,22 Εἰ δέ τι να καὶ δανείσαντες ἡμῖν πρὸς καιρὸν δόντες, οἷον τὰς τιμάς τε καὶ δόξας καὶ ἀρχὰς καὶ πλοῦτον καὶ σῶμα αὐτό, πάλιν αὖ ἐξήκοντος τοῦ χρόνου ἀ παιτήσαιεν, ἀγανακτήσομεν καὶ πρὸς τὸν δανειστὴν ἀγνωμονήσομεν, ὅτι ἄρα, τοσούτῳ χρόνῳ ἡμῖν παρασχὼν τοῖς αὑτοῦ ἐναπολαῦσαι ὅσῳ πεπρωμέ νον ἦν, καὶ ἄλλοις βούλεται μεταδοῦναι καὶ δανεῖσαι; ἀλλ' οὐ πᾶν τοὐναντίον εὐγνώμονας καὶ πιστοὺς ἑ αυτοὺς παρέξομεν χρήστα 〈σ〉 καὶ τῶν κακῶν χρήσ των ταύτῃ διαφέροντας, ᾗ οἱ μὲν ἄκοντες καὶ στ[έ] νοντες καὶ ἀναγκαζόμενοι οὐδὲν ἧττον ὥς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

περ βίᾳ τἀλλότρια ἐξεμέσαντες, ἡμεῖς δὲ φαι δροὶ καὶ χαίροντες, οἰόμενοι χρέως ἐλευθεροῦς θαι; ἂν μὲν γὰρ ἀρχὰς ἀποθώμεθα καὶ τιμὰς καὶ πλοῦτον, μέτριον· ἂν δὲ καὶ τὸ σῶμα καὶ τὸ ζῆ[ν] αὐτῷ ἀποδῶμεν, τότε δὴ παντάπασιν ἐλεύθεροι εἶναι πᾶν τὸ ἀλλότριον ἀπαριθμήσαντες. 2. τῶν γε μὴν δυσκόλως καὶ ἀγνωμόνως ἐκτινόντων ἡγεῖσθαι χρὴ καὶ τοὺς θεοὺς αὐτοὺς κατεγνωκέ ναι, τοιαῦτα περὶ αὐτῶν ἐνθυμουμένους οἷα πε ρὶ τῶν ἀχαρίστων οἱ δανεισταί, ὡς, ὅτε μὲν αὐτῶν ἔχρηζον, συνεχὲς ἐπί τε ἱερῶν θύρας ᾖεσαν καὶ βωμοὺς θυσιῶν καὶ ἑορτὰς εὐχῶν ἐνεπίμπλα σαν, σπονδάς τε σπένδοντες μεγαλοπρεπεῖς καὶ ἱερομηνίας καὶ παννυχίδας ἐπιτελοῦντες, καὶ αὐτοὶ καὶ οἱ παῖδες χοροὺς ἱστάντες, ἔν τε λόγοις καὶ ᾠδαῖς αὐτοῖς χάριν δημοσίαν ὁμολογοῦντες· ἐπεὶ δὲ ἀποδιδόναι δεῖ, τηνικαῦτα σχετλιάζου σιν καὶ τοῖς διδοῦσιν αὐτὰ θεοῖς λοιδοροῦντες, ὅτι μὴ ἀποστερεῖν αὐτοῖς ἔξεστιν τὰ ἀλλότρια. 3. καὶ εἰ μέν τις ἄνθρωπος παρ' ἀνθρώπου παρακατα θήκην λαβὼν ἔξαρνος γένοιτο, ἀνόσιος οὗτος, εἰ δὲ ξυνθήκη 〈ν〉 μὴ φυλάξαι, παράσπονδος οὗτος· οἱ δὲ ἐπὶ ταύταις ταῖς ξυνθήκαις παραληφθέν τες, ὡς ὅ τι ἂν δοκῇ τῷ ποιήσαντι ἡμᾶς θεῷ πάς χειν τε καὶ ποιεῖν, ἂν μὴ ταύτην φυλάττωμεν, οὐχ ἡγησόμεθα ἄδικοί τε τὴν μεγίστην ἀδικί αν πρὸς τοὺς θεοὺς αὐτούς, καθὼς καὶ τοὺς ἄλλους περὶ τῶν δικαίων ὧν ὄμνυμεν, καὶ ἄπις τοι ἅμα καὶ ἀνόσιοι καὶ παράσπονδοι εἶναι; οὐ[δὲ] || τοὐναντίον ε[ὐγνωμόνως] καὶ ἀσμένως ἀπο διδόντες καὶ τὰ[ς ξυνθήκας] φυλάττοντες, δίκαι οί τε καὶ ὅσιοι καὶ ἀξιόπιστοι, εἴ ποτε καὶ αὖθις τοῦ δανειστοῦ χρῄζοιεν, λαβεῖν ῥᾳδίως ὅτου ἂν παρ' ἐκείνου δέωνται; 4. τοιαῦτα διανοούμενος ἀπέδωκεν Μούκιος μὲν τὴν ἀρχήν, τὴν δὲ χεῖ ρα Κυνέγειρος, Φίλιππος δὲ τὸν ὀφθαλμὸν καὶ Πολύζηλος ἀμφοτέρους, Ἡρακλῆς δὲ τὸ σῶμα ἅ παν ὥσπερ ἀλλότριον χιτωνίσκον ἀποδυσά μενος οὕτως ἀπεδίδου ο 〈ὔ〉 τε οἰμώζων οὔτε λυπούμενος, Περικλῆς μὲν τὴν ζημίαν, Κρά της δὲ τὴν οὐσίαν, Θεμιστοκλῆς δὲ τὴν ἀρχὴν τῆς θαλάττης, Ἀριστείδης δὲ τὴν πατρίδα ἀπε δί[δου ἐκ]ὼν τοῖς θεοῖς, καὶ Ξενοφῶν τὸν υἱ[όν, Δημοσθ]ένης τὴν θυγατέρα, Ὁράτιος ὁ Ῥ[ωμαῖος τρεῖς μὲν] συγγενεῖς, δύο δὲ υἱοὺς κα[ὶ ad 11 ll.] θυγατέρα ὑπ' ἀλλήλων ἀν αι[ρεθέντας, ἀποβ]αλὼν ὡς ἄν τις οἴκτιστα, ἀ [πεδίδου καὶ] ὅμ[ως] ἔθυέν τε καὶ τοὺς φίλους [τὰ ἐπι]νίκια είστία ἐστεφανωμένος.

96,23 Τὰς δὴ [τούτω]ν καὶ τῶν τοιούτων ξυμφορὰς εἰκό [τως ἄ]ν τις μακαριωτέρας νομίσειεν τῆς ἑ [τέ]ρων δοκού[σης] εὐπραγίας. πῶς γὰρ ἂν οὐχ ἕλ[ο]ιτο ἀνὴρ ἀ[γαθὸ]ς ἀποβαλεῖν οὕτω τοὺς ὀ φθαλμοὺς ὡς Πολύζηλος ἢ βλέπειν ὡς Ἀθά μας ἔβλεπεν ἐλάφους μὲν ἡγούμενος ὁρᾶν, τὰ δὲ ἑαυτοῦ τέκνα τοξεύων; τίς δὲ οὐκ ἂν τὰς χεῖρας ἀποκεκόφθαι μᾶλλον ἐθελήσαι ὡς Κυνέγειρος ἢ κεκτῆσθαι ὁποίας Αὐτόλυκος ἐ κτήσατο; τίς δὲ οὐκ ἂν ἀποθανεῖν 〈μᾶλλον〉 εὔξαιτο ὡς Σωκράτης ἢ ζῆν ὡς Ἄνυτος καὶ Μέλητος; τίς δὲ οὐκ ἐζημιῶσθαι μᾶλλον ὡς Περικλῆς ἢ κρ[ατ]εῖν ὡς Κλέων; τίς δὲ οὐ πένεσθαι μᾶλλον ὡς Ἀριστείδης ἢ πλουτεῖν ὡς Καλ λίας, καὶ ἠτιμῶσθαι ὡς Θρασύβουλος ἢ ἄρχειν ὡς Κριτίας, καὶ φεύ γειν ὡς Μουσ[ών]ιος ἢ βασιλεύειν ὡς Νέ ρων; πολλ[ῷ δ' ἄ]ν 〈μᾶλλον, ὡς ἐ〉 μοὶ δοκεῖ, καὶ Λάιος καὶ Ἰο κάστη ἐτιμήσαντο ἀποβαλεῖν τὸν υἱὸν ὡς Ξενοφῶν ἢ τοιούτου αὐτοῦ ζῶντος πεπει ρᾶσθαι. 2. καὶ μὴν καὶ πόλεις ὅλαι 〈παρ〉 έχοιεν ἂν τοιούτου παραδείγματα. πῶς γὰρ ἂν οὐκ ἐθε λήσαι δῆμος εὖ φρονῶν ἐκλιπεῖν τὴν πα τρίδα καὶ προσέτι γε αὐτοχειρίᾳ κατασκάψαι ὡς Ἀθηναῖ 〈οι μᾶλλον〉 ἢ μένειν ὡς Θηβαῖοι προδι δόντες τὴν κοινὴν τῶν Ἑλλήνων ἐλευθε ρίαν ὀρθοῖς τοῖς τείχεσιν; οὐ γὰρ χρὴ τὸ ὄ νομα τοῦ ὀνείδους αἰσχυνομένους αἰσχρο τέρους τῷ ἔργῳ φανῆναι· οὔτε γὰρ οἱ μένον τες πάντως ἀγαθοί, οὔτε οἱ φεύγοντες πονη ροί, ἐπεὶ οὐκ ἐντὸς τειχῶν ἡ ἀρετὴ οὐδὲ ἐκτὸς ὅρων ἡ κακία, οὐδὲ ἐν ἐκκλησίᾳ ἢ ἐν δικαστηρίῳ τὰ τοιαῦτα διακρίνεται.

96,24 Πολ λοῦ γάρ τοι ἄξιον ἦν τὸ δικάζειν, εἰ οἱ δικασταὶ τῇ τετρυπημένῃ τε καὶ ἀτρυπήτῳ κακίαν καὶ ἀρετὴν διένεμον· ἀλλὰ γὰρ τοῦτό γε ἐξευρεῖν Ῥαδάμανθυς μὲν ἴσως ἐν Ἅιδου δύναται, οἱ δ' ἐν Ἀρείῳ πάγῳ δικασταὶ οὐ δύ||[νανται ο]ὐδ' ἐν Λακεδαίμονι οἱ ἔφ[οροι ... ] [ ..... τ]ὰ δοκοῦντα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

εἶναι ἀκριβέστα[τα τῆς] [Ἑλλάδο]ς δικαστήρια. 2. οὗτοι γάρ εἰσιν [οἱ τ]ο[ὺς ὀ] κ[τὼ σ]τρατηγοὺς τοὺς τὴν ἐν Ἀργιν[ο]ύσ[αις] ν[αυ]μαχίαν νικήσαντας, πολλούς τε καὶ [ἀγα] θοὺς ἄνδρας, μιᾷ ψήφῳ ἀποκτείναντες, τὸν δὲ κατηγορήσαντα αὐτῶν μικρὸν ὕστερον μι σήσαντες ὡς συκοφάντην, Περικλεῖ δὲ τὴν ζημί αν ἐπιβαλόντες, Κλέωνα δὲ καὶ Λύσανδρον ἀφέν τες, Παυσανίαν δὲ ἀπογνόντες μὴ ἀδικεῖν τὸν δὲ αὐτὸν ὀλίγον ὕστερον ἐν τῷ τῆς Χαλκιοί κου ἱερῷ λιμῷ ἀποκτείναντες· καὶ μ[ὴν] καὶ Ἀλ κιβιάδην [ὡ]ς περὶ τοὺς θεοὺς ἀσεβῆ καὶ περὶ ἀνθρώπους ἀσελγῆ διώ[ξαντες] ἔπειτα ὀλίγον ὕστερον ὡς εὐεργέτην [ἐστεφάνωσα]ν καὶ στρα τηγὸν εἵλα[ντο], οὐ πολὺ δὲ [μετὰ τοῦτο π]άλιν αὖ ἀπὸ στρατοπέδου ἐφυγάδ[ευσαν· ὥστ’ ἐναν]τία τις περὶ τοῦδε τοῦ ἀνδρὸς ξ[υλλογίζοιτ’ ἂν] εἰς τὴν ἐκεί νων ἀφορῶν ψῆ[φον. ἀλλὰ] χρη[σ]τὸν μὲν εἶναι ὅτ[ε ἐ]στρατήγει, π[ονηρὸν] δὲ ἡνίκα ἔφευγεν οὐ[κ] ἔξεστιν εἰπεῖν· [οὐ γὰρ κιν]εῖται ἡ αὐτὴ φύ[σ]ις ἐνα[λλὰξ κατὰ τοὺς δικασ]τάς. 3. διόπερ χρὴ πάντων δ[ὴ τῶν κριθέντων ο]ὐδὲν τούτου γε ἕνεκεν ἐξ[ῶλες ἡ]γεῖσθαι· οὐ γὰρ ἡ κρίσις τὸν κατα γνωσθέντα δίκαιον ἢ ἄδικον, ἀλλ’ ὁ καταγνως θεὶς τὴν κρίσιν ποιεῖ, εἰ μὲν χρηστὸς φαίνοιτο, ἄδικον, εἰ δὲ πονηρός, δικαίαν ἔργῳ ἀποφαί νων. τεκμ[ήριον] δέ· οὔτε γὰρ Σωκράτην οἱ δικας ταὶ πονηρὸν [κἄδικο]ν τῇ αὐτῶν ψήφῳ παρες κεύασαν, ἀλλὰ Σωκράτης ἐκείνους ἀδίκους καὶ παρανόμους, οὔτ[ε α]ὖ Ἀριστείδην Ἀθηναῖ οι, ἀλλά το[ι καὶ οἱ] φυγαδεύοντες α[ .. ]ε δίκαιον ἀπεκάλουν· [ὁ δ]ὲ Ἀπόλ[λων] Λάμπον . [ . ] . τὸν Με γαρέα φυγάδ[α ὄ]ντα οὕτως προσηγόρευ[σ]εν· κλε[ι]νὸς ἀνὴρ [ἥκ]ει γενεὰν ἕδραν τε μ[α]τεύων, Σωκράτην μ[ὴν] καὶ μὴ παρόντα “πάντων σοφώτατον” εἶναι ἀπεφήνατο. ἀλλ’ εἰ καὶ Ἀθηναίοις οὐκ ἐξήρκεσεν τοιοῦτος μάρτυς πρὸς τὴν Ἀνύτου καὶ Μελήτου συκοφαντίαν, ἆρ’ ἔστιν ὅστις ἔτι χρ[η]στὰ συν[ειδώ]ς αὐτῷ καταδίκης [ὄ]νομα αἰς χύνεται, ὁπότε τὸν μὲν θανάτῳ ζημιωθέντα σοφώτατον εἶναι ὁ θεὸς ἀπέφηνεν, τὸν δὲ φυγῇ κλεινότατον, δικαιότατον δὲ Ἀριστείδην αὐτοὶ οἱ καταψηφισάμενοι ἐμαρτύρησαν; 4. ὥστε οὔτε φυγὴ οὔτε πάλιν αὖ μονή, οὔτε ἀτιμία οὔτε τιμή, οὔτε ἀδικία 〈οὔτε—, οὔτε ἐλευθερία〉 οὔτε δουλεία, οὔτε πλοῦτος ἢ πενία ἀγαθὰ ἢ κακά, ἀλλὰ ἡ μὲν τούτων εἰς τὸ δέον χρῆ σις ἀγαθή, ἡ δὲ εἰς τὸ μὴ δέον κακή· καὶ πάλιν αὖ [ἡ] μὲν μετ’ εὐγνωμοσύνης 〈 〉 αἰσχρά τε καὶ λυπη ρά.

96,25 Οὐ γὰρ τότε χρὴ πρῶτον εἰδέναι ἀνθρώπους ὄντας καὶ ἐπὶ πολὺ ταύταις ταῖς ξυμφοραῖς τρα φέντας, ὅταν τις ἐπιγένηται τῆς τύχης μεταβο λή· ὀψὲ γάρ τοι σωφρονήσομεν· ἀλλὰ καὶ ἡνίκα εὐπραγοῦμεν, ἐκ πολλοῦ χρὴ τὰ δεινὰ προβλέ πειν καὶ προσδοκᾶν πρός τε τὴν ἔφοδον αὐτῶν παρεσκευάσθαι, οἷα τοὺς ἀγαθοὺς κυβερνήτας πρὸ τοῦ χειμῶνος συσκευαζομένους, καὶ τὴν [ad 23 ll.] . ων δίκην [ad 18 ll. παλινδρο]μίαν ἐγὼ .... πριντε. [ad 6 ll. τῇ νηῒ ο]ὐριοδρομού σῃ ἡ τῶν κακῶ[ν τρικυμία] ἄφνω προσπε σοῦσα εὐθὺ πρῴρ[αν βαλεῖ]ν ἢ καὶ πλάγιον ἀ νατρέψαι τὸ σκάφος. 2. ἀλλὰ κἂν ἕτερόν τινα ἴδῃ〈ς〉 συμφορᾷ π[εριπ] επτωκότα, ὥσπερ ἑτέ ραν ναῦν ἐκ πο[λλοῦ] χειμαζομένην προ ϊδών, καὶ πρὸς αὐτὸν ἥξειν τὸν ἐκεῖ χειμῶ να προσδόκα· εἰ δὲ καὶ καταδυθεῖσαν ἴδοις, τότε δή, τότε πα[ρ]εῖχε τὸ σαυτοῦ ἀναγκαῖον ὁρᾶν ἐν τῷ τοῦ πέλας παραδείγματι. καὶ γὰρ ἡ σὴ ναῦς φθαρτὴ καὶ “φορητὴ κύμασιν παντοδαπῶν ἀνέμω[ν ῥ]ιπαῖσι” καὶ ἐξ ὁμοίων ξύλων συμπεπηγ[υῖα]· τῇ δὲ προνοίᾳ καὶ ἀσφαλείᾳ καὶ καρτερίᾳ διαφέρει ἄνθρωπος ἀνθρώπου. ἀλλ’ ἐὰν παλινδρομοῦντά τινα ἴδῃς, ἔχεις παράδειγμα ἀσφαλείας, κἂν εἰς λιμένα καταφυγόντα, μίμησαι καὶ τοῦ[το·] ἂν δ’ εὐπλοοῦσαν καὶ πλησίστιον ἴδῃς “ἀγα[λ]λομένην Διὸς οὔρῳ”, ε . ε[ . ]ινη καὶ τὴν σαυτοῦ τύχην μὴ καταφρονή[σῃ]ς μέχρι ἄν τοι ἐν τῇ τοῦ βίου θαλάττῃ τυγχάνῃς ὤν· ἀ[λλοία] γὰρ γίνεται καὶ μεταβάλλει. 3. καὶ γάρ τοι οὐρίῳ ποτὲ πνεύματι θέοντας ἔσθ’ ὅτε δὴ τὸ σκά φος ὑπέραντλον γενόμενον συγκατέδυσεν ἢ ἀφειδῶς τοῖς ἱστίοις χρησαμένους τὸ πνεῦ μα κατὰ πρύμναν λάβρον ἐμπεσὸν „αὐτάν δρους“ κατὰ τὸν Μένανδρον “ἐξήραξ[ε κ]αὶ ἀνεχαίτισεν”. ἔνθα δὴ τὰ μεγάλα καὶ τὰ ἀνήκεστα γίγνεται σφάλματα. ἐν μὲν γὰρ χειμῶνι καὶ φόβῳ ἢ τὸν ἱστὸν ἐξέ τεμεν ἢ τοῦ φόρτου τὸ πλέον ἀ[πο]ρρίψας [ἐ]πεκούφισεν ἢ καὶ ἐς τέναγος προσχὼν ἐπ[ώ]κειλεν τὸ σκάφος ἢ τὸ τελευταῖον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

σανί δος τινὸς ἢ ἀμφορέως ἐφρόντισεν, ᾧ προς αναπαυόμενος ἐς αἰγιαλὸν ἐκκολυμβή σαι· ἐν δ’ εὐπραγίαις καὶ εὐτυχίαις οἱ ἄν θρωποι, ὑπὸ ἀμεριμνίας πολλάκις ἄναν δροι, ὥσπερ τὰ μεγάλα δένδρα πρό 〈ρ〉 ριζα ἀνα τρέπονται.

96,26 Τὸν μὲν δὴ εὐθυμεῖσθαι ἐθέ λοντα χρὴ ἐν μὲν τοῖς ἀγαθοῖς ἀφορᾶν ἐς τοὺς ἐλάττω ἀγαθὰ κεκτημένους, ἐν δὲ τοῖς κακοῖς ἐς τοὺς μᾶλλον δυστυχοῦντας· ἐὰν δὲ πάλιν ἐν τοῖς ἀγαθοῖς ἐς τὸ ὑπερέχον ἢ ἐν τοῖς κακοῖς ἐς τὸ ἐνδεέστερον ἀποβλέπῃς, αἰεὶ λυπήσει καὶ φθονήσεις ἐστὶ δὲ λύπη μὲν ἀ νία ἐπὶ τοῖς οἰκείοις κακοῖς, φθόνος δὲ ὀδύ νη ἐπὶ τοῖς ἀλλοτρίοις ἀγαθοῖς. 2. καὶ οὐ τοῦτο λέγω ὡς χρὴ τοῖς ἀλλήλων κακοῖς ἐφήδε σθαι, ἀνήμερον γάρ, ἀλλ’ ὅτι τὰς ἀνθρωπείας τύχας κοινὰς χρὴ νομίζοντας τῷ ἴσῳ τοῦ ἀναγκαίου ἐπικουφίζεσθαι· οὐδεὶς γὰρ οὕτως δυστυχὴς ἂν γένοιτο ὃς οὐ ζητῶν ἐν ἀνθρώ ποις δυστυχέστερον ἂν εὕροι, ἐπεὶ πᾶσά τοι κακῶν ὑπερβολή, κἂν πάνυ ἕκαστος τὰ αὑτοῦ δεινὰ οἴηται, ἐν τῷ μακρῷ βίῳ || ε[ad 31 ll.] ων [ad 23 ll. ἐ]ποίησε καν. [ad 16 ll.] ἄ[νδρ]α, οὐ μόνο[ν] τυφλὸν [γενόμενον, ἀλλὰ] μι[άν]αντα τὸ μη τρῷον λ[έχος. ἔτι δ’ ἂν λέγ]οι[θ’] ὁ Τηρεὺς οἱ κτρότερ[ος τὸ ἑαυτοῦ 〈 〉 τέκν]α [κ]αταφαγών, ἀλ λὰ καὶ αἰσχ[ύνας] τὴν [αὑτοῦ λ]οιπὴν καὶ ἀγαπη τὴν θυγατέρα. ὡς ἄμεινον ἦν κἀκείνην σὺν τοῖς ἀδελφοῖς ἐπὶ τῆς αὐτῆς τραπέζης παραθε μένῳ καταφαγεῖν ἢ ἐκ τοιούτων γάμων τέκνα ποιήσασθαι, ὥσπερ τὰ πρῶτα εὐτυχῶς παιδοτροφήσαντι. 3. τί δέ; εἰ μὴ τοὺς τραγῳδοὺς εἴχομεν, τίς οὕτως ἀπείρατος τῶν ἀνθρωπεί ων μεταβολῶν ἐστιν ὃς οὐ πολλοῖς τοιούτοις σ[υνέτυ]χεν; οὐ μόνον εἴ τις καθ’ Ἡσίοδον ἐ γ[ένετ]ο. οὐ γάρ, ὦ Ἡσίοδε, ὡς σὺ φῄς, μόνον τὸ σ[ιδ]ηροῦν γένος ξυμφορῶν ἔμπλεων, ἀλλὰ καὶ τὸ τέταρτον καὶ τρίτον καὶ δεύτερον καὶ αὐ τὸ τὸ πρῶτον γένος, ἵνα μὴ μόνος ὀδύρῃ, ἀγχι στρόφοις τύχαις ἐχρήσαντο. 4. καὶ γὰρ οὗτοι, ὧν μικρῷ πρόσθεν ἐπεμνήσθην, θεῶν παῖ δες ἦσαν, οἱ δ’ ἔγγονοι· ὁ Τάνταλος ἐκεῖνος (εἴ τινά που ἀκούεις ἢ καὶ ἐν Ἅιδου εἶδες διψῶντα) θεῶν ξύσσιτος ἢ ὁ Τιτυὸς ἢ ὁ Σίσυφος· ὁ Πη λεὺς αὐτὸς τρίτος ἀπὸ Διὸς ἦν καὶ γυναῖκα ἐκ τῶν ἐναλίων ἠγάγετο, ἀλλὰ τὸν υἱὸν πρὸ ὥ ρας ἀπώλεσεν καὶ ἐν γήρᾳ καὶ ἐν πενί ᾳ τῆς πατρίδος ὑπὸ τῶν ἐχθρῶν ἠλαύνετο· ἀλλὰ μὴν οὐδὲ ὁ υἱωνὸς αὐτῷ ἐπαρκεῖν ἐδύ νατο· ἔφευγεν γὰρ καὶ οὗτος. ἀλλά σοι βούλει τοῦ δευτέρου ἢ τρίτου γένους ἐπιμνησθῶ; ὁ Σαρπηδὼν Διὸς ἦν καὶ ἀπέθνῃσκεν νέ ος, ἕτεροι δ’ ἐγήρων· Αἰνείας ἐκεῖνος ὁ ἀνέστιος καὶ ἄπολις Ἀφροδίτης υἱὸς ἦν, καὶ ἔφυγεν τὸν πατέρα ἐπὶ τῶν ὤμων ἔ χων τὸν τῆς Ἀφροδίτης ἐρώμενον καὶ υἱὸν ἅμα ἐφελκόμενος. 5. σὺ δὲ Ἀσκραῖ ος ὢν πολίτης πόλεως ἣν αὐτὸς λέγεις “χεῖμα κακῆς, θέρει ἀργαλ 〈έ〉 ης, οὐδέ ποτ’ ἐσθλῆς”, Δίου δὲ καὶ Πυκι[μή]δης υἱὸς ὤν, οὓς οὐδὲ εἷς οἶ δεν οὐδὲ εἰ ἐλεύθεροι τὴν ἀρχὴν ἐγένοντο, τοιαῦτα, Ἡσίοδε, ὀδύρῃ καὶ ἀγανακτεῖς, καὶ τῶν θεῶν καταλέγεις ὅτι σε ἐκ μὲν ποιμέ νος ποιητὴν ἀπέδειξαν, ἐκ δὲ ἀδόξου ἀείμνης τον ἔθηκαν; καί τοι τῶν ἐκ τοῦ χρυσοῦ 〈γένουσ〉 ποιητῶν οὐδεὶς μνημονεύεται· ἐν δὲ τούτῳ τῷ γένει γενόμενος ἀδοξεῖς, ἐν ᾧ αἱ Μοῦσαι σὲ μὲν ἐδίδαξαν, “Θάμυ ριν” δὲ “τὸν Θρήικα παῦσαν ἀοιδῆς”; ἀλλὰ γὰρ ἐκεῖναί σε ἴσως τὰ μὲν τῶν θεῶν γένη ἐ δίδαξαν, τῆς δὲ θείας διανοίας οὐκ ἀξιόχρεων ἐνόμισαν εἶναι μαθητήν, καθ’ ὃν ἐκεῖνος τὸ πᾶν κυβερνᾷ πρὸς τὸ σοὶ ἡδὺ ἢ πρὸς τὸ σοὶ δί καιον φαινόμενον ἀποβλέπων.

96,27 Ἀλλὰ καὶ τὸ ὡς ἀληθῶς δίκαιον καὶ τὸ τῷ κόσμῳ παντὶ ξύμφορον, ὥσπερ ἀγαθὸς κυβερνήτης πρὸς τὸ τῇ νηῒ καὶ πᾶσι τοῖς πλέουσι σωτήριον || [ἀποβλέπει, ad 26 11.] vv. 2—8 desunt omnino; vv. 9—16 supersunt nonnullae litterae in principio: 9 μ[ ]10 αδ[ ]11δ[ ]12 κ[ ]13η[ ]14 δ. [ ]15 α .. [] 16 .. α . [ ]17 εκειν[ ad 16 ll.] χεσθ[αι ad 13 ll.] . ολω .. [ad 10 ll.] θικ .. [ad 15 ll.]μενειν [ad 10 ll.] προσεν[ ad 9 ll. δόλ]ιχον ἀποκλίν[ειν, μ]ετά στηθι τοῦ τα[ῦτα ..... ]μένους ἀπορρῖψαι τῆς νεὼς ἔξω κατ[ὰ τῶν το]ῦ Ταρτάρου βυθῶν, ὡς τῇ κοινῇ σωτ[ηρίᾳ ...... ]ιωμένους σου. 2. ἐὰν δὲ πει θόμενος ε[ὐγνωμόνως] ἔχῃς, καλῶς καὶ ἀπταίστως τὸν τοῦ βίου δ[ρόμον ἐξ]ανύσας τῇ ἐκείνου προ νοίᾳ ἐπιβήσε[ι ἐς τὸν] λιμένα ἄκλυστον εὐδαι μονίας, ᾗ εκβήσε[ι κα]ὶ τὰ πάλαι θ[ρυ]λούμενα Ἠ λυσίων πεδ[ί]ων [ἀγ]αθὰ ὄψει, κἀκεῖ μένων οὐ κ ἐμφοβήσει μὴ τὸ [σκ]άφος

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀπὸ τοῦ μεγίστου κυ βερνήτου .... ε . [ .. ] . ει σωζόμενόν τε καὶ πορ θμευόμενον ἄλλους ἐξ ἄλλων ἐπιβάτας ἀνα λήψεται.

96,28 Ὁ δ’ ἄλλ[ος] καὶ μέγιστος κλῆρος λείπε ται ὥσπερ ἐφεδ[ρ]εύων περὶ τοῦδε τοῦ τῆς εὐ θυμίας σ[τ]εφάνου, ἐλευθερία, κατὰ πιθανό τητα πρ[οβε]βλημένος ὡς ἄρα οὔτ’ ἄνετον εἴη μο[ι] τὸ τῆς φυ[γῆς] οὔτ’ αὐτεξούσιον, ἀλλ’ ἐν μιᾷ νήσῳ κατακεκλεισμένῳ πᾶσάν τοι ...... δίαιταν καὶ ἐλευθέριον νομὴν ἀφῃρημένῳ, οἷα τὰ ἐν τῷ Μηδικῷ παραδείσῳ τρεφόμενα θηρία, ἅ φησιν ὁ Κῦρος λεπτὰ εἶναι καὶ ψωραλέα καὶ ἰσχὺν ἀφῃρῆσθαι, τὰ δ’ ἐν τοῖς πεδίοις λιπαρὰ δ[ιότι] ἄφε τα καὶ ἐλεύθερα. 2. τῷ μὲν οὖν Κύρῳ Πέ[ρσῃ ὅ]ν[τι] καὶ τὰ φεύγοντα καὶ λιπαρώτερα διώκει[ν ποθοῦν]τι ὑπ’ ἀγερωχίας καλὸς ὁ μῦθος καὶ ἁρμόζων λέγεσθαι, ὑπὲρ δὲ ἀνδρὸς ἐλευθερίας ἐξετάζοντι, ᾧ ἡ ἐλευθέριος δίαιτα οὐκ ἐν τῷ ὀνόματι, ἀλλ’ ἐν τῇ γνώμῃ, εἰδέναι προσήκει ὅτι ἀνδρὸς ἀγαθοῦ ψυχὴ οὔτε θαλάττῃ εἴργεται οὔτε δεσμωτηρίῳ οὔτε τοῖς Ἄρεως δεσμοῖς οὔτε τῷ Ἀκρισίου χαλ κῷ θαλάμῳ οὔτε τῷ Ἡφαίστου σιδήρῳ οὔτε τῷ πάντα περιέχοντι Ὠκεανῷ, ἀλλ’ ἔνθα ἂν αὐτὴν δήσῃς καὶ καθείρξῃς, ἐξελθεῖν μὲν οὐ θελήσ[α]σα (οὐ γὰρ θέμις αὐτῇ φε[ύγε]ιν οὐδὲ τοὺς νόμους παραβαίνειν οὔτε τοῦ θ[εοῦ τ]ὰς [φ]ωνὰς οὔτε τοῦ Σωκράτους τοὺς τη[ροῦν]τας νόμους), ἀλλ’ αὐ[τόθι ἔ]νειμε νομὴν ἐ[λευ]θέραν [ἀ]π[ό] λυτος κα[ὶ ἀ]τείχιστος καὶ [ἄ]δε[σμος ἀεί. 3. τὸν δὲ] ἄνδρ[α ἐξελθ]εῖν ἐθέλοντα τοῦ β[ίου ad 8 ll.] || [ ....... ]μ . [ad 22 ll.] [ ...... ] γαρ[ad 22 ll. 3] [ ...... ] . ουλ . [ad 21 ll.] [ .. ]λυ[ ... ]ιτομη[ . ] . υλ[ad 14 ll.] σεται οὔτε [ ... ]λυθήσεται [ad 1i ll.] σει αὐτὸς ὢν κ[ad 14 ll.] σεται οὔτε [ ... ]λυθήσεται [ad 12 ll.] ας ὁ νόμος ταῦτα τὰ πα[ad 14 ll.] της.

96,29 Οὐ γὰρ ἡ νομὴ ἁρμό[ζει ......... ἡ] τῶν νομάδων, ἀλλὰ τὰ τῆς [ὑπαρχούσης ἀ] ληθοῦς ἐλευθερίας. ἐὰν δή [σε τινῶν ἐλευθέ] ριος κωλύῃς, αὐτὸ τοῦτό σοι ἐ[λευθερία, ἀλλὰ] τοῦτό σοι δουλεία, ἐὰν τῶν μ[ὴ ὁσίων ἀδυνάτων] τε ἐρᾷς αἰεί· ἀτυχήσει 〈ς δ’ 〉 ἀεί [ἐν τούτῳ. 2. ἡμεῖς] δὲ ἀπὸ μὲν τῆς νήσου τὴν [ἤπ]ει[ρον ὁρῶντες] ἀνιασόμεθα ὅτι μὴ ἐξελθθεῖν ἐξ [αὐτῆς ἡμῖν] ἔξεστιν, ἀπὸ δὲ τῆς γῆς τὸν οὐραν[ὸν ὁρῶντες οὐ] κ ἀνιώμεθα ὅτι μὴ ἀναβῆναι [ἄνθρωπον ἐς αὐ] τὸν οἷόν τε; καίτοι πολὺ ἀτυ[χ]έστ[ερον τοῦτο. ἀλ] λὰ τὰ μὲν δυνατὰ ἐξ αὐτοῦ καὶ ἐν [ad 9 ll.] ομεν, περὶ δὲ τῶν ἀδυνάτων ο[ὔτε πονοῦμεν] οὔτ’ ἐγχειροῦμεν μάτην ὥσ[περ Ὦτος καὶ] Ἐφιάλτης οἱ τὰ ὄρη τοῖς ὄρεσιν ἐ[πιθεῖναι ἐγ] χειροῦντες ἵν’ οὐραν[ὸν ἐσανα]βα[ῖεν. ἀλλὰ τό] πους πολλοὺς καὶ αὐτό[θεν ἔξεστιν ἡμῖν ὁρᾶν]. εἰ δὲ ἐμὲ μὲν ἐν νήσῳ [ad 18 ll.] ρο ... τοι βούλονται πε[ ad 18 ll.] ρο ... [ἐ]κείνου οὐδὲ ἐν το[ad 18 ll.] ..... ωλ. ωνηπαρ[ad 18 ll.] ..... υτις .... ιποτα[ ad 18 ll.] ..... [ ....... ] οὐρανο[ ad 18 ll.] . δ ... [ ....... ]δων[ ad 18 ll.] [ .. ] .. [ ......... ]θυιησ[ ad 18 ll.] [ad 11 ll.] ειταιμ[ ad 18 ll.] [ad 11 ll.]υδιουχ[ ad 18 ll.] [ad 11 ll.] .. τασ[ad 18 ll.] . αφ[ad 18 ll.] [ad 13 ll.] . ειδ[ad 18 ll.] — — — — — —

97 πολλάκις ἐξ ἡλίου εἰς ἥλιον εἱστήκει ἀστραβέστερος τῶν πρέμνων.

98 Philostr., vit. Apollon. IV 25, 1 ἐν Κορίνθῳ δὲ φιλοσοφῶν ἐτύγχανε τότε Δημήτριος, ἀνὴρ ξυνειληφὼς ἅπαν τὸ ἐν Κυνικῇ κράτος, οὗ Φαβωρῖνος ὕστερον ἐν πολλοῖς τῶν ἑαυτοῦ λόγων οὐκ ἀγεννῶς ἐπεμνήσθη.

99 Ζάμολξις οἰκέτης ἦν Πυθαγόρου, καὶ προσεκύνησαν αὐτὸν οἱ Γέται.

100 ἡ καλουμένη χάρις παρὰ τοῖς ἀνθρώποις, τοῦτό ἐστιν ὕφεσις ἀκριβείας ἐν δέοντι.

101 ἔστι δὲ οὐκ ἀξιόπιστος ἔπαινος, ὃν ἐπαινεῖ τις ἕτερον διὰ τὸ ἑαυτοῦ συμφέρον.

102 ὥσπερ ὁ Ἀκταίων ὑπὸ τῶν τρεφομένων ὑπ’ αὐτοῦ κυνῶν ἀπέθανεν, οὕτως οἱ κόλακες τοὺς τρέφοντας κατεσθίουσιν.

103 ὥσπερ γὰρ τὰ θηρία τὴν σαγήνην ὑποχωροῦντα 〈ἀεὶ〉 εἰς ἔλαττω τόπον συνάγεται, οὕτω δὴ καὶ τοὺς τυράννους ἔστιν ἰδεῖν ἐπαναχωροῦντας ἐκ μὲν τῆς Ἑλλάδος εἰς τὴν πόλιν, ἐκ δὲ τῆς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πόλεως εἰς τὴν ἀκρόπολιν, εἶτ’ εἰς τὴν οἰκίαν, ἔπειτ’ εἰς τὸ δωμάτιον. εἶτα δύναται καταφυγεῖν ἄνθρωπος θεὸν φεύγων; ὅπου γὰρ ἂν καταφύγῃ, ἡ Δίκη αὐτὸν εὑρήσει.

104 ἀλλ’ ἐγὼ βούλομαι ἡδονήν τινα τῷ τυράννῳ μηνῦσαι. εἰ μὲν ἀνθρωπίνην θέλεις, ὦ Διονύσιε, πείνησον ἵνα φάγῃς, δίψησον ἵνα πίῃς· εἰ δὲ δεξιάν τινα καὶ ὑπέρσπουδον καὶ τηλικαύτην ἡλίκην οὐδεὶς πρὸ σοῦ, ἀπόθου τὴν τυραννίδα. τὸν γὰρ μυρίων καὶ πεντακισχιλίων χλαμύδων δεόμενον οὐκ ἔστι μὴ πλειόνων δεῖσθαι· οἷς γὰρ ἔχω προσδεόμενος, ἀφελὼν ὧν ἔχω, ἀρκοῦμαι οἷς ἔχω.

105 πενίας διττὸν εἶδος· ἢ γὰρ διὰ τὴν γνώμην ἄνθρωποι πένονται ἢ διὰ τὴν τύχην. ἀλλὰ τὴν μὲν τύχην ἔστι θεραπεῦσαι καὶ δόσει καὶ εὑρέσει καὶ ἐργασίᾳ καὶ αὐταρκείᾳ, τὴν δὲ γνώμην οὐκ ἔστιν· οὐ γὰρ ὁμοίων δέονται οὗτός τοι κἀκεῖνος· ἀλλ’ ὁ μὲν περιέρχεται “αἰτίζων ἀκόλους”, ὁ δὲ οὐκ ἀκόλους οὐδὲ ψωμόν.

106 γραῦν τινά φασι μόσχον μικρὸν ἀραμένην καὶ τοῦτο καθ’ ἡμέραν ποιοῦσαν λαθεῖν βοῦν φέρουσαν.

107 Φασὶ δὲ καὶ ἑταιρικόν τινα ἀναγκαζόμενον ὑπὸ τοῦ πατρὸς γεωργεῖν ἀπάγξασθαι, γράψαντα ἐν γραμματειδίῳ ὅτι ἀπέραντόν τι καὶ ἀκατάστροφον ἡ γεωργία ἦν· σπείρειν ὅπως θερίσωμεν, εἶτα θερίζειν ὅπως σπείρωμεν· ἄτοπόν τι τὸ χρῆμα τῆς περιόδου.

108 Φαβωρῖνος εἶπε τοὺς ἀνθρώπους πῇ μὲν εἶναι γελοίους, πῇ δὲ μισητούς, πῇ δὲ ἐλεεινούς· γελοίους μὲν θρασύτητι μειζόνων ὀρεγομένους, μισητοὺς δὲ ἐπιτυχόντας, ἐλεεινοὺς δὲ ἁμαρτάνοντας, ζηλωτοὺς δὲ 〈οὐδέ〉 ποτε.

109 ἄνθρωπος ἐὼν μήποτε φάσῃς ὅ τι γίνεται αὔριον, μηδ’ ἄνδρα ἰδὼν ὄλβιον ὅσσον χρόνον ἔσσεται. ἀλλὰ μηδὲ οἶκον· ὥσπερ ἀμέλει ὁ ποιητὴς διεξέρχεται τὴν τῶν Σκωπαδῶν ἀθρόαν ἀπώλειαν. ἤδη δὲ καὶ πόλεις παρ’ ὃ προσεδόκησαν ἀνάστατοι γεγόνασιν αἰφνίδιον, αἱ μὲν ὑπὸ πυρός, αἱ δ’ ὑπὸ σεισμοῦ, αἱ δὲ τῆς θαλάττης ἐπελθούσης. ποῦ μοι Ἑλίκη; κατεπόθη. ποῦ Βοῦρα; καὶ αὐτὴ κατεπόθη. δύο πόλεις Ἑλληνίδες ἀπώλοντο ὥσπερ πλέουσαι.

110 εὐτυχῶν μὴ ἔσο ὑπερήφανος, ἀπορήσας μὴ ταπεινοῦ· τὰς μεταβολὰς τῆς τύχης γενναίως ἐπίστασο φέρειν.

111 Κλεόβουλος ὁ Λίνδιος ἐρωτηθεὶς ὑπό τινος τίνα δεῖ μάλιστα φυλάττεσθαι, εἶπε· “τῶν μὲν φίλων τὸν φθόνον, τῶν δὲ ἐχθρῶν τὴν ἐπιβουλήν”.

112 Διογένης ὁ κυνικὸς φιλόσοφος, θεασάμενος ἑταίρας υἱὸν λίθον εἰς ὄχλον βάλλοντα, “οὐκ εὐλαβῇ, ἔφη, μή σου τὸν πατέρα πλήξῃς;”

113 Ἀριστείδης ὁ δίκαιος ὀνειδιζόμενός ποτε εἰς πενίαν εἶπεν· “ἀλλ’ ἐμοὶ μὲν ἡ πενία οὐδὲν συνιστορεῖ κακόν, σοὶ δὲ ὁ πλοῦτος πολλά”.

114 ἐρωτηθεὶς πόσον ἔστι χρόνον ἄνθρωπον καλῶς ζῆν, ἔφη· “ἕως ἂν ὑπολάβῃ τὸ τεθνάναι τοῦ ζῆν κρεῖττον εἶναι”.

115 Βίων ὁ περιπατητικός “τὰ χρήματα, ἔφη, τοῖς πλουσίοις οὐ δεδώρηται, ἀλλὰ δεδάνεισται.

116 Ἄμασις, ὁ τῶν Αἰγυπτίων βασιλεύς, φίλῳ ἀποβαλόντι υἱὸν γράφων παραμυθητικῶς εἶπεν· “ὅτε οὐδέπω ἦν, οὐκ ἐλυποῦ, μηδὲ νῦν, ὅτε οὐκέτι ἔστι, λυπηθῇς”.

117 Ἀρίστιππος ὁ Κυρηναϊκὸς φιλόσοφος παρεκελεύετο τοῖς νέοις τοιαῦτα ἐφόδια κτᾶσθαι, ἅτινα αὐτοῖς καὶ ναυαγήσασι συνεκκολυμβήσει.

118 Τίμων ὁ μισάνθρωπος ἐρωτηθεὶς “διὰ τί πάντας ἀνθρώπους μισεῖς” εἶπε· “διότι τοὺς μὲν πονηροὺς εὐλόγως μισῶ· τοὺς δὲ λοιποὺς ὅτι οὐ μισοῦσι τοὺς πονηρούς”.

119

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Σόλων ὁ σοφὸς ἐκείνην εἶπεν ἄριστα οἰκεῖσθαι τὴν πόλιν, ἐν ᾗ τοὺς ἀγαθοὺς συμβαίνει τιμᾶσθαι, κάκιστα δὲ οἰκεῖσθαι ἐν ᾗ τοὺς κακούς.

120 [τοῦ αὐτοῦ] 〈Διονυσίου〉 προσπτύσαντος αὐτῷ ἠνέσχετο· μεμψαμένου δέ τινος αὐτόν, "εἶτα οἱ μὲν ἁλιεῖς, εἶπεν, ὑπομένουσι ῥαίνεσθαι τῇ θαλάσσῃ, ἵνα κωβιὸν θεράσωσιν, ἐγὼ δὲ μὴ ἀνάσχωμαι τὸ αὐτὸ παθεῖν, ἵνα ἄνθρωπον ἁλιεύσω;"

121 ὀνειδιζόμενος δέ ποτε ὅτι δίκην ἔχων ἐμισθώσατο ῥήτορα, "καὶ γάρ, ἔφη, ὅταν δεῖπνον ἔχω, μάγειρον μισθοῦμαι".

122 ἐρωτηθεὶς ὑπό τινος εἰ γήμαι, ἔφη· "ἐὰν μὲν αἰσχρὰν γήμῃς, ἕξεις ποινήν· ἐὰν δ' ὡραίαν, ἕξεις κοινήν".

123 τοσούτῳ διαφέρειν τὴν φρόνησιν τῶν λοιπῶν ἀρετῶν ἔλεγεν ὅσῳ ὅρασιν τῶν ἄλλων αἰσθήσεων.

124 ὅσον ἐν πολέμῳ δύνασθαι σίδηρον, τοσοῦτον ἐν πολιτείᾳ ἰσχύειν ἔλεγε λόγον εὖ ἔχοντα.

125 ὁμονοούντων ἀδελφῶν συμβίωσιν παντὸς ἔφη τείχους ἰσχυρότερον εἶναι.

126 εἰσ〈αγ〉αγόντος τινὸς αὐτὸν εἰς πολυτελῆ οἶκον καὶ κωλύοντος πτύσαι, ἐπειδὴ ἀνεχρέμψατο, εἰς τὸ πρόσωπον αὐτοῦ ἐνέπτυσεν εἰπὼν χείρονα τούτου τόπον μὴ εἶναι αὐτόθι.

127 Ἀλεξάνδρου ποτὲ πέμψαντος ἐπιστολὴν πρὸς Ἀντίπατρον εἰς Ἀθήνας 〈διά τινος Ἀθλία〉, ἔφη· "ἄθλια παρ' ἀθλίου δι' ἀθλίου πρὸς ἄθλιον".

128 Ἐπαμεινώνδας γὰρ ὁ Θηβαῖ[ος] Ἑλλήνων ταύτην ἔφη μεγίστ[ην]

129 Phrynich. eclog. § 411, p. 502 Rutherford (p. 447 Lobeck) ἀπηρτισμένο ν , ἀπήρτικα καὶ τὰ ἀπὸ τούτων ἅπαντα σόλοικα. ἀποτετέλεσται δὲ καὶ ἀποτετελεσμένον χρὴ λέγειν· ἄμεινον γάρ. ἐκτὸς εἰ μή ποθεν τοῦτο εἰς Φαβωρῖνον ἦλθεν, ὅθεν οὐδεὶς οἶδεν. ἀρχαῖοι μὲν γὰρ οὕτως οὐ λέγουσιν, ἐκεῖνος δέ· πλὴν εἰ εἷς. ἡμεῖς οὖν ὡς οἱ ἀρχαῖοι, ἀλλὰ μὴ ὡς Φαβωρῖνος.

130 Phryn., ecl. § 168, p. 279 Ruth. (p. 192 Lob.) ἀφιερῶσα ι· καὶ τοῦτο Φαβωρῖνος· σὺ δὲ καθιερῶσαι λέγε.

131 Phryn., ecl. § 302, p. 376 Ruth. (p. 347 Lob.) βρώσομαι, κακῶς ὁ Φαβωρῖνος· οἱ γὰρ Ἀττικοὶ ἀντ' αὐτοῦ ἔδομαι χρῶνται καὶ κατέδομαι. Phryn., praep. soph. p. 66, 13 De Borries ἔδει καὶ ἔδομαι καὶ ἔδεται καὶ ἔδονται. οἱ μὲν ἀμαθεῖς φάγῃ λέγουσιν ἐπὶ τοῦ μέλλοντος· ὁ δὲ Φαβωρῖνος τῷ βρώσομαι ἐχρήσατο.

132 Phryn., ecl. § 177, p. 284 Ruth. (p. 199 Lob.) ἐξιδιάζοντα ι· καὶ τοῦτο Φαβωρῖνος λέγει κακῶς· ἰδιοῦσθαι γὰρ τὸ τοιοῦτον λέγουσιν οἱ ἀρχαῖοι. Thomas Mag. s. v. ἐξιδιάζονται· Φαβωρῖνος λέγει· σὺ δὲ ἐξιδιοῦνται.

133 Phryn., ecl. § 27, p. 103 Ruth. (p. 37 Lob.) ἐπεξελευσόμενο ς· ἄλλος οὗτος Ἡρακλῆς. τοῦτο οὖν ἔσυρεν ἐκ τριόδου Φαβωρῖνος· χρὴ γὰρ ἐπεξιὼν εἰπεῖν· καὶ γὰρ ἐπέξειμι λέγεται, ἀλλ' οὐκ ἐπεξελεύσομαι.

134 Phryn., ecl. § 52, p. 144 Ruth. (p. 69 Lob.) κορυφαιότατο ς· ἐνεκαλυψάμην εὑρὼν παρὰ Φαβωρίνῳ. λέγε οὖν κορυφαῖον.

135 Phryn., ecl. § 147, p. 254 Ruth. (p. 170 Lob.) αἱ νῆες ἐρεῖς, οὐχ αἱ ναῦ ς· σόλοικον γάρ· ἥμαρτον μέντοι Φαβωρῖνος, Πολέμων καὶ Σύλλας, αἱ ναῦς εἰπόντες.

136 Phryn., ecl., p. 443 Lob. 〈 〉 ενιτεῦσα ι· ἰδεῖν δεῖ εἰ Φαβωρῖνος χρώμενος οὐκ ὀρθῶς χρῆται.

137 Phryn., ecl. § 221, p. 317 Ruth. (p. 245 Lob.) προαλῶ ς· τοῦτο δοκεῖ μοι γυναικῶν εἶναι τοὔνομα. ἀνιῶμαι δὲ ὅτι ἀνὴρ λόγου ἄξιος κέχρηται αὐτῷ Φαβωρῖνος. τοῦτο μὲν οὖν ἀποδιαπεμπώμεθα,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀντ’ αὐτοῦ δὲ λέγωμεν προπετῶς. Thomas Mag. s. v. προπετῶς δόκιμον· προαλῶς δὲ μόνος Φαβωρῖνος λέγει καὶ Συνέσιος (ep. 143). ἀδοκίμως.

138 Phryn., ecl. § 197, p. 297 Ruth. (p. 220 Lob.) προσδεῖσθαι λέγε, ἀλλὰ μὴ προσδέεσθαι διαιρῶν, ὡς Φαβωρῖνος λέγων ἁμαρτάνει.

139 Phryn., ecl. § 189, p. 293 Ruth. (p. 215 Lob.) σταθερὸς ἄνθρωπο ς· οὕτως οὐ χρῶνται οἱ ἀρχαῖοι, ἀλλὰ σταθερὰ μὲν μεσημβρία λέγουσι καὶ σταθερὰ γαλήνη, σταθερὸς δὲ ἄνθρωπος οὐδαμῶς, ἀλλ’ ἐμβριθής. οὐ καλῶς οὖν Φαβωρῖνος σταθερὸς ἄνθρωπος εἶπεν.

140 Phryn., ecl. § 215, p. 312 Ruth. (p. 238 Lob.) στατὸς ὁ τῶν αὐλητῶν χιτὼν οὐ λέγεται, ὡς Φαβωρῖνος, ἀλλ’ ὀρθοστάδιος χιτών.

141 Phryn., ecl. § 213, p. 311 Ruth. (p. 237 Lob.) ὑστερίζειν τῷ καιρῷ οὐ λέγεται, ἀλλ’ ὑστερίζειν τοῦ καιροῦ. Φαβωρῖνος δὲ οὐχ ὑγιῶς κατὰ δοτικὴν συντάττει.